www.tezaurliturgic.ro

ΙΕΡΑ ΜΟΝΗ ΛΕΙΜΩΝΟΣ

# ΙΕΡΑΙ ΑΚΟΛΟΥΘΙΑΙ

## ΕΣΠΕΡΙΝΟΥ - ΟΡΘΡΟΥ - ΠΑΡΑΚΛΗΣΕΩΣ
## ΧΑΙΡΕΤΙΣΜΩΝ ΚΑΙ ΕΓΚΩΜΙΩΝ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

## ΙΓΝΑΤΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΜΗΘΥΜΝΗΣ ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

ΚΤΙΤΟΡΟΣ ΤΗΣ ΙΕΡΑΣ ΜΟΝΗΣ ΛΕΙΜΩΝΟΣ

ΠΑΝΑΓΙΩΤΗΣ ΠΟΛΥΔΩΡΟΣ

ΜΥΤΙΛΗΝΗ 1989

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro



## ΤΗ ΙΔ'. ΤΟΥ ΜΗΝΟΣ ΟΚΤΩΒΡΙΟΥ

Μνήμη τοῦ ἁγίου Ἰγνατίου
Ἀρχιεπισκόπου Μηθύμνης τοῦ θαυματουργοῦ.

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια γ'. δευτεροῦντες τὸ πρῶτον.

### Ἦχος α'. Πανεύφημοι Μάρτυρες, ὑμᾶς.

Πανεύφημε Πάτερ τοῦ Χριστοῦ, Ἱεράρχα μέγιστε, χαίρων ἐν γῇ πεπολίτευσαι, ὁσίως, ἅγιε, καὶ τοῦ παναγίου Πνεύματος ἐνδέδειξαι, τῆς χάριτος δοχεῖον πανέτιμον, καὶ κατεφώτισας, ὁδηγῶν πρὸς τὴν ἀλήθειαν, τὰς καρδίας τῶν πιστῶν, Ἰγνάτιε.

Προσέλθωμεν, ἅπαντες πιστοί, καὶ ἀπαρυσώμεθα, ἁγιασμὸν ἐκ τῆς λάρνακος, οὗ κατακείμενον, καθορᾶται πᾶσι, τὸ τίμιον λείψανον, θαυμάτων ἐνεργοῦν τὰ παράδοξα, τῷ μετὰ πίστεως, ἐκβοῶντι πρὸς τὸν Κύριον· Ἰγνατίου λιταῖς με διάσωσον.

www.tezaurliturgic.ro



Ωραίοις ποσί σου ἀνδρικῶς, ὄφιν κατεπάτησας, τὸν νοητόν, ὦ Ἰγνάτιε, καὶ ἀγωνίσμασι, τοῖς ἀσκητικοῖς σου, κούφως ὑπερβέβηκας, τῶν κάτω φθειρομένων, καὶ ἔφθασας, πρὸς τὰ ἀΐδια, τοῦ Θεοῦ, ᾧ παριστάμενος, ἐν τοῖς ἄνω ὑπὲρ πάντων πρέσβευε.

Δόξα. Ἦχος α'.

Τὸν διὰ Χριστὸν ἐπίπονον βίον σου, ὅσιε Πάτερ, τίς ἂν κατ' ἀξίαν ἐφίκοιτο διηγήσασθαι, θεοφόρε Ἰγνάτιε; Σὺ γὰρ ὡς ἀδάμας στερρῶς τὸ τῆς ἡμέρας βάρος καὶ τὸν παγετὸν τῆς νυκτὸς ἤνεγκας, ἄχρις οὗ τὰς σεπτάς σου Μονὰς κατὰ θυμὸν ἀπαρτίσῃς, καὶ πολλοὺς προσαγάγῃς Χριστῷ δι' αὐτῶν. Σὺ καὶ τὸ δοθέν σοι τάλαντον τοῦ Εὐαγγελίου ὡς ἀγαθὸς ἐργάτης ἀρχιερατικῶς ἐπηύξησας. Ἀνθ' ὧν ἤδη περιπολεύων ἐν οὐρανοῖς, ἀξίως τῶν πόνων σου παρὰ τοῦ μισθαποδότου Θεοῦ χαίρων ἀκούεις· Εἴσελθε, δοῦλε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου.

Καὶ νῦν. Θεοτοκίον.

Χαίροις παρ' ἡμῶν, παρθένε Θεοτόκε, τὸ σεπτὸν κειμήλιον ἁπάσης τῆς οἰκουμένης, ἡ λαμπὰς ἡ ἄσβεστος, τὸ χωρίον τοῦ ἀχωρήτου. Χαίροις ἐξ ἧς ἀμνὸς ἐτέχθη, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

Εἰς τὸν στίχον.

Στιχηρὰ προσόμοια.

Ἦχος β'. Οἶκος τοῦ Εὐφραθᾶ.

www.tezaurliturgic.ro



Δεῦτε νῦν ψαλμικῶς, τῶν φιλεόρτων στίφη, Χριστοῦ τὸν Ἱεράρχην, ὑμνήσωμεν συμφώνως, Ἰγνάτιον τὸν ἔνδοξον.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος.

Ὄρη τε καὶ βουνοί, σκιρτήσατε, Μηθύμνης, ὅτι ὃν ἐν ὁρίοις, ἐθρέψατε οἰκείοις, ὑμᾶς ὑπερεδόξασε.

Στίχ. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται.

Δόξα ἱεραρχῶν, καὶ τῶν ὁσίων κλέος, τῷ βίῳ σου κατέστης, Ἰγνάτιε τρισμάκαρ, Ἀγγέλοις δὲ συνόμιλος.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Πάναγνε Μαριάμ, χριστιανῶν ἡ σκέπη, ὃν ἔτεκες ἀσπόρως. Χριστὸν τὸν ζωοδότην, ὑπὲρ ἡμῶν ἱκέτευε.

Νῦν ἀπολύεις. Τὸ Τρισάγιον. Καὶ τὸ τροπάριον ἦχος α'. Τὸν ποιμενάρχην Μηθύμνης Ἰγνάτιον ᾄσμασι. Ζήτει ἐν τῷ μεγάλῳ Ἑσπερινῷ. Εἶτα Θεοτοκίον καὶ ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Ὁ Προοιμιακός. Τὸ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. η'. καὶ ψάλλομεν.

Στιχηρὰ προσόμοια.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τὴν σὴν πανίερον μνήμην, πάτερ Ἰγνάτιε, πιστῶς ἐπιτελοῦντες, ἐξαιτούμεθα πόθῳ· χάριν τε παρέχειν ἡμῖν δαψιλῆ, τοῖς Χριστοῦ βαίνειν ἴχνεσι, καὶ προσβολὰς ἐναντίας τῶν δυσμενῶν, ἀπωθεῖν ἀεί, πρεσβείαις σου.

www.tezaurliturgic.ro



Μετὰ Θεὸν τὰς ἐλπίδας σοι ἀνεθέμεθα, οἱ σοὶ προσπεφευγότες δοῦλοί σου, Ἱεράρχα· διὸ ὡς παρρησίαν ἔχων Χριστῷ μὴ διαλείπῃς δεόμεθα, ὑπὲρ ἡμῶν ἱκετεύειν οἷα πατὴρ συμπαθέστατος, Ἰγνάτιε.

Οἱ τὰς σεπτάς σου οἰκοῦντες Μονὰς Ἰγνάτιε, καί πέριξ χώρα πᾶσα Μηθυμναίων σκιρτῶσι, σήμερον τελοῦντες φαιδρὰν ἑορτήν, ἐπὶ σῇ μνήμῃ, ἅγιε καὶ εὐωδίας πληροῦνται πνευματικῆς, ἀσπαζόμενοι τὴν κάραν σου.

Ἕτερα στιχηρά.

Ἦχ. πλ. δ'. Ὢ! τοῦ παραδόξου θαύματος.

Ὄντως θαυμαστός, Ἰγνάτιε, σὺ ἀνεδείχθης κανών, ἀρετῆς καὶ κατηύγασας, πᾶσαν τὴν ὑφήλιον, ταῖς ἐνθέοις σου πράξεσι, καταπαλαίσας τὸν πολυμήχανον, νήπιον ὥσπερ αὐτὸν παιζόμενον, ἔδειξας ὅσιε· διὸ καὶ δεδόξασαι εἰς οὐρανούς, καὶ χαίρων παρίστασαι τῷ τρισηλίῳ φωτί.

Πάτερ πατέρων, Ἰγνάτιε, Ἱεραρχῶν καλλονή, ἀσθενούντων ἐπίσκεψις, καταπονουμένων τε, θερμοτάτη ἀντίληψις, καὶ θλιβομένων χαρὰ ἀνέκλειπτος, χειμαζομένων λιμὴν ὁ εὔδιος, ὤφθης, μακάριε, ἐπὶ γῆς γενόμενος, μετὰ σαρκός· ὅθεν καὶ νῦν πάρεσο, πᾶσιν ἡμῖν βοηθός.

Χάριν θεόθεν δεξάμενος, πάθη ποικίλα σαρκός, θεραπεύειν τῶν πίστει σου, τῷ ναῷ, Ἰγνάτιε, προσιόντων θερμότατα ὀξὺς προφθάνεις τοῖς τὸ σὸν ὄνομα ἐπικαλουμένοις εἰς ἀντίληψιν· ὅθεν νῦν ἅπαντες συνελθόντες ᾄσμασι χρεωστικῶς, πόθῳ σε γεραίρομεν καὶ μακαρίζομεν.

www.tezaurliturgic.ro



Δόξα. Ἦχος πλ. β'.

Πνευματικῶς εὐφρανθῶμεν σήμερον, ὦ φιλέορτοι, ἐπὶ τῇ μνήμῃ τοῦ θεράποντος Χριστοῦ, Ἰγνατίου τοῦ παμμάκαρος· ὅτι κόσμον καὶ τὰ ἐν κόσμῳ ἐξ ἁπαλῶν ὀνύχων βδελυξάμενος, παρὰ Θεῷ γῆν ἠρετίσατο. Πνευματικὸς πατὴρ πρῶτον ἐν σκηνώμασιν ἀναδειχθεὶς ἱεροῖς, καὶ πνευματικὸς ποιμὴν ὕστερον λογικῶν θρεμμάτων τῇ Μηθυμναίων Ἐκκλησίᾳ θεόθεν ἀποσταλείς. Ἐπ' ἀμφοτέροις δὲ διαπρέψας ὁσίως, μυροβλήτης γενέσθαι μετὰ πότμον ἠξίωται· καὶ παριστάμενος τῇ Τριάδι, ἀδιαλείπτως,πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; Τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; Ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Τὸ φῶς ἱλαρόν.
Προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσιν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης καὶ ὀλίγα

www.tezaurliturgic.ro



παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιοι εἰς τόν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· Ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα. Ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλείσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς· ἐνωτίσασθε, οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ἡμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

www.tezaurliturgic.ro



Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς. Ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονησίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπί διανοίᾳ τὸ τοιοῦτον. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἶθ' οὕτως ἡ συνήθης ἐκτενὴς παρὰ τοῦ ἱερέως. Τὸ Καταξίωσον. Εἶτα τὸ Πληρώσωμεν καὶ τὰ ἑξῆς.

Εἰς τὴν Λιτὴν

Στιχηρὸν τῆς Μονῆς. Ἦχος α'.

Τῶν νοερῶν δυνάμεων ἀρχιστράτηγοι, οἱ παρεστῶτες ἀπαύστως τῷ δεσποτικῷ θρόνῳ, πρεσβεύσατε πρὸς Κύριον, εἰρήνην τῷ κόσμῳ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἕτερα Στιχηρὰ Ἰδιόμελα τοῦ ἁγίου Ἰγνατίου. Ἦχος α'.

Ἡ πανέντιμος μνήμη σου, πάτερ Ἰγνάτιε, ὡς ἄλλος ἡμῖν ἥλιος ἀνατείλασα, πάντας ἐφαίδρυνε τοὺς φιλεόρτους σου. Τὴν γὰρ θείαν κάραν σου προκειμένην ὁρῶντες, τὸν αὐτόν σε πάλιν ὡς πολύτιμον ἄλλον πλουτοῦντες πιστεύομεν θησαυρόν,

www.tezaurliturgic.ro



καὶ εὐλαβῶς αὐτὴν προσκυνοῦντες, γηθοσύνως σοι κράζομεν. Πάτερ ἅγιε, τῇ πρὸς Θεόν σου θερμῇ μεσιτείᾳ, ἀξίωσον ἡμᾶς, καθάπερ νῦν, ἐτησίως, ὑμνεῖν καὶ δοξάζειν σε.

Τὸν διὰ Χριστὸν ἐπίπονον βίον σου, ὅσιε Πάτερ, τὶς ἂν κατ' ἀξίαν δυνηθείη διηγήσασθαι, θεοφόρε Ἰγνάτιε; Σὺ γὰρ ὡς ἀδάμας στερρῶς, τὸ τῆς ἡμέρας βάρος καὶ τὸν παγετὸν τῆς νυκτὸς ἤνεγκας, ἄχρις οὗ τὰς σεπτάς σου Μονὰς ψαλμικῶς εὐτρεπίσῃς, καὶ πολλοὺς προσαγάγῃς Χριστῷ δι' αὐτῶν. Σὺ καὶ τὸ δοθέν σοι τάλαντον τοῦ Εὐαγγελίου ὡς ἀγαθὸς ἐργάτης ἀρχιερατικῶς ἐπηύξησας. Ἀνθ' ὧν ἤδη περιπολεύων ἐν οὐρανοῖς, ἀξίως τῶν πόνων σου, παρὰ τοῦ μισθαποδότου Θεοῦ χαίρων ἀκούεις· εἴσελθε, δοῦλε, εἰς τὴν χαρὰν τοῦ Κυρίου σου.

Ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν τοῦ Κυρίου, ὅσιε, τὰς ἱεράς σου Μονὰς ἐθεμελίωσας· οὐδαμῶς γὰρ ἴσχυσαν ταύτας διασαλεῦσαι, οἱ σφοδρῶς κατ' αὐτῶν ἐπιπνεύσαντες κλύδωνες, μένουσαι δὲ διὰ παντὸς ἀσινεῖς τῇ χάριτί σου, τὰς ἀριστείας σου πᾶσι μεγαλοφώνως κηρύττουσι· καὶ ἀκαταπαύστως δοξολογοῦσι, τὸν σὲ δοξάσαντα Κύριον.

Καθοπλισθεὶς τῇ δυνάμει τοῦ Σταυροῦ, τρισμάκαρ Ἰγνάτιε, εἰςτὸν ἄδυτον γνόφον τῆς ἄνω φιλοσοφίας εἰσέδυς μυστικῶς καὶ τῇ θεωρίᾳ ἀνευρών, ὃν ἐπόθησας πολύτιμον μαργαρίτην, μεγαλέμπορος ἐγένου πολλοῖς, τῆς οὐρανίου βασιλείας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἐν ᾗ γηθοσύνως σὺν Ἀγγέλοις χορεύων, πρέσβευε ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

www.tezaurliturgic.ro



Δόξα. Ἦχος δ'.

Ἀποστολικῶς διαπρέψαντα τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ Ἀπόστολον ἄλλον σε τῇ ἀρχιερωσύνῃ ἡ τοῦ Πνεύματος χάρις ἀπέδειξεν· οὐ γὰρ ἔδει σε τὸν λύχνον ὑπὸ τὸ μόδιον κρύπτεσθαι, ἀλλ' ἐπὶ τὴν λυχνίαν τεθῆναι, ἵνα πᾶσιν ἡμῖν φαίνῃς τῷ ἀπλέτῳ φωτὶ τῶν λόγων σου, καὶ τῷ κάλλει τῶν ἐν ἀρετῇ ἔργων σου διεγείρῃς ἡμᾶς πρὸς δόξαν τοῦ οὐρανίου Πατρός. Ὃν προσκυνοῦντες κατὰ χρέος, τὴν εἰς ἡμᾶς διὰ σοῦ ἄκραν ἀγαθότητα αὐτοῦ δοξάζομεν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν στίχον.

Στιχηρὰ προσόμοια.
Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσι.

Τὴν σεπτήν σου πανήγυριν, ἐκτελοῦντες, Θεόσοφε, σὲ ἐπικαλούμεθα, πάτερ ἅγιε, πάσης ὀργῆς τε καὶ θλίψεως, ἡμᾶς διαφύλαττε. Τοῦ δοξάζειν σε ἀεί, εὐχαρίστως καὶ ἅπασι τὰ παράδοξα, πανταχοῦ τῶν θαυμάτων σου, κηρύττειν, διαπύρως Μηθυμναίων τὸν προστάτην γεραίροντες.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος.

Τὴν ζωὴν ἣν διήνυσας, ἐπιπόνως Ἰγνάτιε, πάντες ἀνευφήμησαν οἱ ποθήσαντες, τὸν ἐν Χριστῷ βίον, ὅσιε, διὸ καὶ προσήρχοντο, πλήθη σοι τῶν μοναστῶν εὐλαβῶς ἔνθα ἔπηξας, παναοίδιμε, τὰς σεπτάς σου Μονάς, καὶ ὁλοτρόπως, ἑαυτούς σοι ἀνετίθουν, κλέος Μηθύμνης καὶ καύχημα.

www.tezaurliturgic.ro



Στίχ. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται.

Τῷ Θεῷ παριστάμενος, μετὰ πάντων, Ἰγνάτιε, τῶν Ἁγίων, πρέσβευε, ὅπως ἵλεως, ἁμαρτωλοῖς ἡμῖν γένηται, ἐν ὥρᾳ τῆς κρίσεως, καὶ μερίδος δεξιᾶς, παραστάτας ἐνδείξηται, ἡμᾶς ἅπαντας, καὶ τρυφῆς παραδείσου ἀξιώσῃ, τῇ ἰδίᾳ συμπαθείᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δόξα. Ἦχος πλ. α'.

Ἐν τῇ πρὸς Θεὸν ἐκδημίᾳ σου, Ἰγνάτιε ὅσιε, ἀθυμίας νέφος τῷ πλήθει τῶν μαθητῶν σου ἐπέπεσε, καὶ παριστάμενοι τῇ κλίνῃ σου, θρηνοῦντες ἔλεγον· Πάτερ ἡμῶν Ἅγιε, μὴ ἐάσῃς ἡμᾶς ὀρφανούς, οὓς διὰ τῶν καμάτων σου ἐκ τοῦ δρυμοῦ τῆς κοσμικῆς συγχίσεως πρόρριζον ἀποσπάσας, εἰς τὸν λειμῶνα τοῦτον τῆς ἡσυχίας μετεφύτευσας καὶ τῇ πνευματικῇ ἀρδείᾳ τῶν λόγων σου, ὡς καλὸς φυτοκόμος κατήρδευσας. Οἷς καὶ αὐτός, οἷα πατὴρ φιλόστοργος καὶ διδάσκαλος σοφός, παραμυθίαν δεδωκὼς εἶναι σὺν αὐτοῖς νοητῶς καὶ συμπαθῶς ἔπειθες· καὶ τελευταῖον λόγον τὴν εἰρήνην λιπών, εἰς τὴν οὐράνιον λῆξιν μετέβης γηθόμενος, ἔνθα τοῦ ἀμηχάνου κάλλους τῆς τρισηλίου δόξης ἀπολαύεις ἐμφορούμενος. Ἀλλὰ πάρεσο μέσον καὶ ἡμῶν ἀοράτως, Ἱεράρχα Χριστοῦ, ἐκλυτρούμενος ἡμᾶς τῶν δεινῶν τοῦ βελίαρ, καὶ ὁδηγῶν καὶ φωτίζων, πρὸς σωτηρίαν τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε· δι' ἧς ὁ Λυτρωτής μου Χριστὸς ὁ Κύριος τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διό, Πανύμνητε, ὡς μητρικὴν παρρησίαν

www.tezaurliturgic.ro



πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.

Τὸν ποιμενάρχην Μηθύμνης Ἰγνάτιον ᾄσμασι, τὸν μετὰ πάντων Ἁγίων δοξασθέντα ἐν θαύμασιν, ὑμνήσωμεν ἀπαύστως οἱ πιστοί, συμφώνως ἐν τῇ τούτου ἑορτῇ καὶ ὡς πλεῖστα κατιδόντες ὑπ' αὐτοῦ, θεραπευθέντα πάθη ἐκβοήσωμεν· Δόξα τῷ σὲ δοξάσαντι· Δόξα τῷ σὲ στεφανώσαντι· Δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Καὶ νῦν. Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι, Παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ Κιβωτῷ ὡς ἔφη ὁ δίκαιος Δαυΐδ, ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν βαστάσασα τὸν κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

Εἶτα ἡ συνήθης εὐλόγησις τῶν ἄρτων.

καὶ

Ἀπόλυσις.

************************************************

www.tezaurliturgic.ro



## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν ἑξάψαλμον τό, Θεὸς Κύριος. Καὶ τὸ τροπάριον. Τὸν ποιμενάρχην Μηθύμνης Ἰγνάτιον. Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον. Εἶτα μετὰ τὴν πρώτην στιχολογίαν τοῦ ψαλτηρίου.

Τὸ Κάθισμα.
Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Τὴν ἄκραν προσευχήν, ἣν ἐτέλεις νηστεύων, καὶ πᾶσαν τὴν λοιπήν, τὴν τοῦ σώματος τῆξιν, οἱ Ἄγγελοι, Ἰγνάτιε, οὐρανόθεν ἐθαύμασαν, καὶ οἱ δαίμονες, οἱ πυλωροὶ οἱ τοῦ Ἅδου, φόβῳ ἔφριξαν· βροτοὶ δὲ πάντες ἑώρων, ἐν γῇ σε ὡς ἄϋλον.

Δόξα.

Τὸν πόθον τὸν θερμόν, ἱκετῶν σου, τρισμάκαρ, Ἰγνάτιε κλεινέ, ἐκπληρῶν μὴ ἐλλείπῃς. Εἰς σὲ γὰρ προστρέχομεν, πεποιθότες οἱ δοῦλοι σου, καὶ αἰτούμεθα, λύσιν δεινῶν εὑρεῖν πάντων· καὶ δὴ πρόφθασον, ἀντιλαβοῦ, ἡμᾶς ῥῦσαι, ὑψόθεν ἰσχΰϊ σου.

Καὶ νῦν. Θεοτοκίον.

Κυβέρνησον, ἁγνή, τὴν ἀθλίαν ψυχήν μου, καὶ οἴκτειρον αὐτήν, ὑπὸ πλήθους πταισμάτων, βυθῷ ὀλισθαίνουσαν ἀπωλείας, πανάμωμε· καὶ ἐν ὥρᾳ με, τῇ φοβερᾷ τοῦ θανάτου, σὺ ἐξάρπασον, κατηγορούντων δαιμόνων καὶ πάσης κολάσεως.

Εἰς τὴν β'. στιχολογίαν. Τὴν ὡραιότητα.

Κόσμον κατέλιπες, πάτερ Ἰγνάτιε, ἔρημον ᾤκησας, χαίρων καὶ ἔφθασας πρὸς ὃν ἐπόθησας Χριστὸν σαρκὸς τῇ σκληραγωγίᾳ. Ὅθεν καὶ ὁ Κύριος, ἐπὶ γῆς σε ἐδόξασε, ποιμένα καὶ διδάσκαλον, Ἐκκλησίας προέστησεν· ἀλλὰ καὶ μετὰ θάνατον πᾶσιν, ἅγιον θαυματουργόν σε ἀνέδειξεν.

www.tezaurliturgic.ro



Δόξα.

Ὕμνον ἐπάξιον, πρόσδεξαι, ἅγιε, τὸν ἐκ χειλέων μου, τοῦτον καὶ πάρεσχε χάριν τὴν σήν μοι δαψιλῶς ἐκκλίνειν τὰς ἁμαρτίας, πρὸς ἃς ὁ παμπόνηρος, ἐπιχαίρων ἑλκύει με, καὶ παίγνιον ἅπασι, προτιθείς με τὸν δείλαιον, ἐπαπειλεῖ με ὁ βροτοκτόνος, τῆς σωτηρίας μου τὴν ἀπόγνωσιν.

Καὶ νῦν. Θεοτοκίον.

Θεομακάριστε, μῆτερ ἀνύμφευτε, τὴν ἀσθενοῦσαν μου, ψυχὴν θεράπευσον, ὅτι συνέχομαι δεινῶς, τοῖς πταίσμασιν ὁ ἄθλιος. Ὅθεν καὶ κραυγάζω σοι, στεναγμῷ τῆς καρδίας μου· δέξαι με, πανάμωμε, τὸν πολλὰ πλημμελήσαντα, ἵνα ἐν παρρησίᾳ βοῶ σοι· χαῖρε ἡ Κεχαριτωμένη.

Μετὰ τὸν Πολυέλεον.

Ἦχος πλ. δ'.

Κάθισμα. Τὸ προσταχθὲν μυστικῶς.

Ἀνευφημήσωμεν, πιστοί, μεγαλοφώνως, τὸν περιβόητον Χριστοῦ ἀρχιερέα, τὸν ἀειλαμπέστατον φωστῆρα τῆς Οἰκουμένης, τὸν ὄντως ἐν τοῖς Ἁγίοις θαυματουργόν, τῆς Λέσβου ἁπάσης ὄντα μέγαν φρουρόν, τὸν Μηθύμνης γενόμενον προστάτην τε καὶ ὁδηγόν, εἰς τρίβους σωτηρίους Χριστοῦ· ὅν δοξάζομεν ἅπαντες.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Θεοχαρίτωτε ἁγνὴ εὐλογημένη, τὸν διὰ σπλάγχνα οἰκτιρμῶν ἐκ σοῦ τεχθέντα, σὺν ταῖς ἄνω Δυνάμεσι καὶ τοῖς Ἀρχαγγέλοις, καὶ πᾶσι τοῖς Ἀσωμάτοις ὑπὲρ ἡμῶν, δυσώπει

www.tezaurliturgic.ro



ἀκαταπαύστως δοῦναι ἡμῖν, πρὸ τοῦ τέλους διόρθωσιν, καὶ ἱλασμὸν ἁμαρτιῶν, καὶ βίου ἐπανόρθωσιν ὅπως εὕρωμεν ἔλεος.

Εἶτα οἱ Ἀναβαθμοί. Τὸ α'. Ἀντίφωνον τοῦ δ' ἤχου. Τὸ Πᾶσα πνοή. Τὸ Εὐαγγέλιον. Ὁ Ν'. Δόξα Πατρί. Ταῖς τοῦ Ἱεράρχου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλέησόν με ὁ Θεός.

Ἦχος πλ. β'.

Ἱεράρχα τοῦ Χριστοῦ, Ἰγνάτιε, ὁ συγκαλέσας ἡμᾶς εἰς εὐωχίαν πνευματικὴν τῶν θαυμάτων σου, φώτισον τὰς καρδίας ἡμῶν τῇ χάριτί σου. Ἵνα δι' αὐτῆς ὁδηγούμενοι, τὰς ἐντολὰς τοῦ Κυρίου ποιῶμεν, καὶ τῆς οὐρανῶν βασιλείας διὰ πρεσβειῶν σου, οἱ ἐν ᾄσμασι τιμῶντές σε τύχωμεν.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου. Τὸ Κύριε, ἐλέησον ιβ'. Ἐλέει καὶ οἰκτιρμοῖς.

Εἶτα ὁ Κανὼν τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς στ', καὶ τοῦ Ἁγίου εἰς η'. (Ὁ Κανὼν τοῦ Ἁγίου ἀποτελεῖ ἀκροστιχίδα τοῦ ποιητοῦ τήνδε, "Ἀθανάσιον, Ἰγνάτιέ μου, φρούρει". Τὰ δὲ Θεοτοκία τοῦ Κανόνος τούτου συμπληροῦσιν αὐτὴν διὰ τῆς λέξεως "Ροδοστοῦ").

Κανὼν τῆς Θεοτόκου.

Ὠδὴ α'. Ἦχος πλ. δ'.

Ἁρματηλάτην Φαραὼ ἐβύθισε τερατουργοῦσά ποτε, Μωσαϊκὴ ῥάβδος, σταυροτύπως πλήξασα καὶ διελοῦσα θάλασσαν, Ἰσραὴλ δὲ φυγάδα, πεζὸν ὁδίτην διέσωσεν, ᾆσμα τῷ Θεῷ ἀναμέλποντα.

www.tezaurliturgic.ro



Διὰ παντὸς τοῖς λυπηροῖς κρατούμενος ὁ δυστυχέστατος καὶ τληπαθὴς ὄντως, καὶ ἀχρεῖος δοῦλός σου, εἰς σὲ προστρέχω σῶσόν με, παναγία Παρθένε, καὶ τῶν δεινῶν ἐλευθέρωσον, ἵνα σε ὑμνῶ τὴν πανύμνητον.

Ἐπισκοπῇ σου ταχινῇ ἐπίσκεψαι, νῦν με τὸν δείλαιον τῷ χαλεπῷ ζόφῳ, τῶν ἀμέτρων θλίψεων, δι' ὅλου συνεχόμενον καὶ ἀνάστησον μόνη, κατερραγμένων βοήθεια, κλίνῃ συμφορῶν κατακείμενον.

Χαρᾶς μου σὺ τὴν θρηνῳδοῦσαν πλήρωσον, καρδίαν, Δέσποινα ἡ τὴν χαρὰν πᾶσι τοῖς πιστοῖς πηγάσασα· τῷ παραδόξῳ τόκῳ σου, ἐκδυσωποῦσα πᾶσαν, πικρίαν τῶν περιστάσεων τῶν χειμαζουσῶν με τὸν ἄθλιον.

Ὅλον ἐν σοὶ ἀναζωοῖ τὸν ἄνθρωπον, νεκρὸν γενόμενον, ὁ τῆς ζωῆς ὄντως χορηγός, πανάχραντε, ὅλον με ἐνδυσάμενος, διὰ σπλάγχνα ἐλέους βροτὸς ἀτρέπτως γενόμενος, μείνας ὅπερ ἦν πρὸ σαρκώσεως.

Κανὼν τοῦ Ἁγίου.

Ὠδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Ἀπείρῳ σου ἔρωτι, ἐπειγομένῳ, Ἰγνάτιε, τὰ σὰ ἀγωνίσματα ἐγκωμιάσαι νυνί, σήν μοι ἄνωθεν κατάπεμψον πλουσίως, βοήθειαν, Ἅγιε, τοῦ ἀνυμνεῖν σε ἀεί.

Θεῷ ἀνατέθεικας, ὅλον σαυτόν, παναοίδιμε, ἐκ βρέφους καὶ ἅπασαν κόσμου τερπνότητα καταλέλοιπας καὶ τρίβους τοῦ Κυρίου σταυρόν, ἀνελόμενος, χαίρων διήνυσας.

www.tezaurliturgic.ro



Απαύστως δοξάζομεν, τὸν σὲ δοξάσαντα Κύριον, τῆς Λέσβου τὸ βλάστημα, ὅτι σε ἅπαντες παραμύθιον, κεκτήμεθα καὶ μόνον δεινοῖς οἱ τρυχόμενοι καὶ πειρασμοῖς φοβεροῖς.

Θεοτοκίον.

Ρυσθείημεν, πάναγνε, τῇ προστασίᾳ σου, Δέσποινα, παντοίας κακώσεως τοῦ βροτοκτόνου ἐχθροῦ, ὅπως χαίροντες τὰ σὰ ἀνευφημῶμεν, παράδοξα θαύματα, μόνη θεόνυμφε.

Τῆς Θεοτόκου. Ὠδὴ γ'. Ὁ Εἱρμός.

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε καὶ τῆς Ἐκκλησίας δομῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε.

Υπὸ σκέπην τὴν θείαν καὶ κραταιάν, Δέσποινα, σοῦ, θεοκυῆτορ, προστρέχω, νῦν ὁ πανάθλιος πάσης με λύτρωσαι, θλίψεως, νόσου καὶ βλάβης, πάσης περιστάσεως, πάσης ὀργῆς καὶ ποινῆς.

Των παθῶν μου τὸν σάλον, καὶ χαλεπὸν κλύδωνα, καὶ τρικυμιῶν τὰς ἐφόδους κόπασον, Δέσποινα· σὺ γάρ μου καύχημα, σὺ καὶ προστάτις ὑπάρχεις· σὺ καὶ καταφύγιον, σὺ καὶ ζωῆς θησαυρός.

Ολος ὢν ἐν τῷ σκότει, τῶν δυσχερῶν, πάναγνε, ὅλως ἐν τῷ βάθει ὑπάρχω τῶν παραπτώσεων, ὅλος κρατούμενος, ὑπ' ἀμετρήτων κινδύνων, ὅλην ἐξαιτοῦμαί σου τὴν χάριν, Δέσποινα.

www.tezaurliturgic.ro



Ναυαγοῦντά με σῶσον τῷ χαλεπῷ κλύδωνι, τῶν ἀλλεπαλλήλων κινδύνων, θεοχαρίτωτε, καὶ πρὸς ἀκύμαντον, καὶ γαληνότατον ὅρμον, τῇ θερμῇ πρεσβείᾳ σου, νῦν με ὁδήγησον.

Ἀπὸ πλήθους πταισμάτων ὁ δυστυχὴς δοῦλός σου πλήθει περιπίπτω ἀμέτρων θλίψεων, πάναγνε, ὃν ἐλευθέρωσον καὶ πρὸς λιμένα χαρᾶς με, θᾶττον καθοδήγησον, θεομακάριστε.

Τοῦ Ἁγίου. Οὐκ ἐν σοφίᾳ καὶ δυνάμει.

Νόσους καὶ πάθη, ἐξιᾶται ποικίλα ἑκάστοτε, ἡ σεπτή σου κεφαλή, δεδοξασμένε Ἰγνάτιε· διὸ ἀσπαζόμενοι ταύτην γεραίρομεν.

Ἀπαραλλάκτως, ἐφ' ἡμῖν ἄλλος ὤφθης Ἀντώνιος, ἐπ' ἐσχάτων τῶν καιρῶν ἐρημικοῖς ἀγωνίσμασιν, ὁσίων γὰρ ἔπλησας Μονάς, ἃς ἔπηξας.

Σύμφωνον αἶνον, χρεωστικῶς σοι πάντες προσάγομεν, ἱεράρχα τοῦ Χριστοῦ ὧνπερ ἐκ σοῦ ἀπελαύομεν, χαρίτων, καὶ ἅπασι ταύτας κηρύττομεν.

Θεοτοκίον.

Οἱ τῇ θερμῇ σου, βοηθείᾳ θαρροῦντες, πανάχραντε, προσφεύγομεν ἰδοὺ οἱ ἁμαρτίαις ὑπεύθυνοι. Πάσης οὖν κολάσεως ἡμᾶς ἐκλύτρωσαι.

Κάθισμα.

Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

www.tezaurliturgic.ro



Θεωρίαν καὶ πρᾶξιν τῶν ἀρετῶν, τὰς μεγίστας εἰς ἄκρον καταλαβών, κανὼν καὶ ἀρχέτυπον, μονασταῖς ἐχρημάτισας. Πάντες γὰρ προσήρχοντο εἰς σὲ οἱ αἱρούμενοι, κατὰ Χριστὸν ζῆσαι πρὸς σὲ ἀποβλέποντες. Ὅθεν καὶ ἀξίως εἰς ἀνώτερον θρόνον, Θεός σε ἀνήγαγε, καὶ ποιμένα ἀνέδειξε, τῆς Μηθύμνης, Ἰγνάτιε. Ὃν αἴτησαι πρεσβεύων ἀεί, τῶν πταισμάτων δοῦναι ἡμῖν ἄφεσιν, τοῖς μετὰ πόθου τελοῦσι, τὴν πανέντιμον μνήμην σου.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Τὴν ψυχήν μου, Παρθένε, τὴν ταπεινήν, ἀπὸ βρέφους μολύνας, ὁ μιαρός, καὶ λόγοις καὶ πράξεσιν, ἐμαυτὸν κατερρύπωσα, καὶ οὐκ ἔχω τί πράξω, ἢ ποῦ ἐπιστρέψομαι. Οὐδὲ γὰρ ἄλλην ἐλπίδα πλήν σου, κόρη, ἐπίσταμαι. Φεῦ μοι τῷ ἀχρείῳ καὶ κακῷ οἰκονόμῳ! Ἀλλὰ πρός σέ, ἄχραντε, νῦν προστρέχω καὶ δέομαι, ὁμολογῶν σοι τὸ ἥμαρτον. Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι, εἰς σὲ γὰρ Παρθένε, τὰς ἐλπίδας ἀνέθηκα.

Τῆς Θεοτόκου. Ὠδὴ δ'. Ὁ Εἱρμός.

Σύ μου ἰσχύς, Κύριε, σύ μου καὶ δύναμις, σὺ Θεός μου, σύ μου ἀγαλλίαμα, ὁ πατρικοὺς κόλπους μὴ λιπών. καὶ τὴν ἡμετέραν πτωχείαν ἐπισκεψάμενος. διὸ σὺν τῷ προφήτῃ Ἀββακοὺμ σοι κραυγάζω· τῇ δυνάμει σου δόξα, φιλάνθρωπε.

Μόνη πιστῶν ὤφθης προστάτις ἀσάλευτος, τῶν ἁπάντων μόνη ἀποτέξασα, δημιουργόν τε καὶ λυτρωτήν, μόνη ταῖς δειναῖς με, δονούμενον περιστάσεσιν, οἰκτείρησον καὶ σῶσον, παναγία Παρθένε, θλιβομένων ἑτοίμη βοήθεια.

www.tezaurliturgic.ro



Νύξ με πολλῶν, ὀδυνηρῶν κατεκάλυψε, τὸν ἁπάντων δοῦλόν Σου οἰκτρότατον· ἀλλ' ἡ τὸ φῶς τέξασα σαρκί, καὶτὴν οἰκουμένην Θεοπρεπῶς καταλάμψασα, ἀνάτειλόν μοι φάος θυμηδίας, Παρθένε, ὅπως πίστει καὶ πόθῳ δοξάζω σε.

Ο ποιητής, πάντων κτισμάτων καὶ Κύριος ἐκ γαστρός σου, πάναγνε, σεσάρκωται, ὅλως βροτός, ἀληθῶς φανείς, ὅλως κατ' οὐσίαν, Θεός ὑπάρχων ἀθάνατος· αὐτόν οὖν ἐκδυσώπει ἀπὸ πάσης με νόσου καὶ κινδύνου ρυσθῆναι τὸν δοῦλόν σου.

Νέφος δεινῶν, τρικυμιῶν ἐκταράττει με, καὶ ποικίλων, συμφορῶν τὸ πέλαγος, καταποντίζει τὸν δυστυχῆ· πρόφθασον, Παρθένε, ἀναγαγεῖν καὶ διάσωσον, τῷ τάλανί με δοῦσα ἀντιλήψεως χεῖρα, τῷ τὴν σὴν ἐκζητοῦντι βοήθειαν.

Τοῦ Ἁγίου. Ὁ καθήμενος ἐν δόξῃ.

Ιερεὺς τῶν ἐν τῷ κόσμῳ, ἱερώτατος γέγονας, καὶ θεοπροβλήτως, οἷς ἀρχιερεὺς ἐχρημάτισας· πρακτικωτάτῳ σου λόγῳ δίκην σάλπιγγος, ἀνεκήρυξας τὸ τοῦ Χριστοῦ Εὐαγγέλιον.

Ο πατὴρ ὁ σός, τρισμάκαρ, ὅτε σύ, ἔξω γέγονας, κόσμου καὶ διῆγες, ὑπὲρ τὰ ὁρώμενα, ἤλλαξεν, εὐλαβηθείς σου τὸν τρόπον σχέσεις φύσεως ἑαυτὸν γάρ σοι υἱόν, ἐν πνεύματι ἔταξε.

Νέον ἄλλον σε Θηβαῖον, Παῦλον πάντες κηρύττομεν, ζηλωτὴν Ἠλίαν, Ἰωάννην Πρόδρομον, ἅμα τε Σάββαν, Εὐθύμιον μέγαν καὶ Μακάριον καὶ διδάσκαλον, ἄλλον ἡμῖν χρηματίσαντα.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Δυνατὴ ἡ σὴ πρεσβεία πρὸς τὸν Κύριον, πάναγνε. Τοῦτον οὖν δυσώπει, ἵλεων γενέσθαι τοῖς δούλοις σου, τοῖς οὐδεμίαν ἐλπίδα πλήν σου ἔχουσι τοῦ τὴν κόλασιν διεκφυγεῖν τὴν αἰώνιον.

Τῆς Θεοτόκου. Ὠδὴ ε'. Ὁ Εἱρμός.

Ινα τί με ἀπώσω, ἀπὸ τοῦ προσώπου σου τὸ φῶς τὸ ἄδυτον, καὶ ἐκάλυψέ με τὸ ἀλλότριον σκότος τὸν δείλαιον; Ἀλλ' ἐπίστρεψόν με καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου, τὰς ὁδούς μου κατεύθυνον δέομαι.

Θεοτόκε παρθένε, πάντων πεπτωκότων ἑτοίμη ἀνόρθωσις, πρόφθασον καὶ ῥῦσαι τῆς παρούσης με ζάλης ὡς εὔσπλαγχνος, ὅτι σὲ καὶ μόνην, ὁ δυστυχὴς ἐπικαλοῦμαι, προστασίαν, καὶ σκέπην καὶ καύχημα.

Επὶ σοί, Παναγία, πᾶσαν τὴν ἐλπίδα μου τίθημι· σῶσόν με, ἀπὸ πάσης βλάβης, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως, ἀπὸ πάσης νόσου, καὶ συμφορᾶς θανατηφόρου, ἀπὸ πάσης ὀργῆς καὶ κακώσεως.

Ολικῶς σοῦ τὴν θείαν, σκέπην ἐκζητῶ, Παναγία, ὁ δοῦλός σου, ταῖς τοῦ βίου ζάλαις, καὶ ταῖς θλίψεσιν, οἴμοι, κλονούμενον, μὴ παρίδῃς νῦν με ὡς ἀγαθὴ θεοκυῆτορ· ἀλλὰ σπεῦσον οἰκτεῖραι, καὶ σῶσόν με.

Καταιγίς με χειμάζει, ποικίλων κακώσεων, καὶ συμφορῶν πονηρῶν, καὶ πρὸς χάος ἤδη, ἀπωλείας καθέλκει τὸν δείλαιον· τῇ θερμῇ σου τάχος, ἐκδυσωπῶ πρὸς τὸν υἱόν σου μεσιτείᾳ οἰκτείρασα σῶσόν με.

www.tezaurliturgic.ro



Τοῦ Ἁγίου. Ἐξέστη τὰ σύμπαντα.

Ἰδοὺ ἡ πανέντιμος, ἡμέρα καὶ εὐφρόσυνος, ἐπέστη ἡμῖν τοῦ ποιμενάρχου, ἐν ᾗ γηθόμενοι, νῦν ἀλαλάξωμεν· Ἰγνάτιε, πρόφθασον θερμῶς ἡμᾶς ἐκλυτρούμενος, πάσης νόσου καὶ θλίψεως.

Γενναίῳ φρονήματι ὑπήνεγκας, θαυμάσιε, φορὰς ἐναντίας τῶν ἀρχόντων, κατὰ καιροὺς σοι ἐπαναστάντων πικρῶς. Οὐ γὰρ δίκην ἤτεις ἐκ Θεοῦ, μᾶλλον δὲ δι' ἄγνοιαν πρᾳοτάτην συγχώρησιν.

Νοός σου, μακάριε, τὸ πρᾶον καὶ ἡσύχιον, Θεὸς ἀπεδέξατο ἐξ ὕψους· διὸ καὶ χάριν σοι ἀνταπέδωκεν, εἴ τις πρῶτον ἴδοι ἀγνοῶν, σὲ ἀπὸ τοῦ σχήματος, ὡς Θεοῦ δοῦλον σέβεσθαι.

Ἀπάρας, Ἰγνάτιε, εἰς Κωνσταντίνου ἕνεκεν, ἀνάγκης ὧν ἔκτισας Μονῶν σου, ἐκεῖ διέλαμψας ἐμφανέστατα, ὡς ἄλλος τις ἥλιος λαμπρός, καίτοι ταπεινότατος, ῥακενδύτης διέτριψας.

Θεοτοκίον.

Ὃν ἔτεκες ἄφθορον, ἄνευ ἀνδρὸς Θεὸν ἡμῶν, τοῦ κόσμου παντὸς τὴν σωτηρίαν, τοῦτον δυσώπει ὑπὲρ ἁπάντων βροτῶν, ὅπως πᾶσιν ἵλεως φανῇ, ἐν ὥρᾳ τῆς κρίσεως φιλανθρώπως ὡς εὔσπλαγχνος.

Τῆς Θεοτόκου. Ὠδὴ ϛ'. Ὁ Εἱρμός.

Ἱλάσθητί μοι, σωτήρ· πολλαὶ γὰρ αἱ ἀνομίαι μου, καὶ ἐκ βυθοῦ τῶν κακῶν ἀνάγαγε δέομαι· πρός σέ γὰρ ἐβόησα, καὶ ἐπάκουσόν μου ὁ Θεὸς τῆς σωτηρίας μου.

www.tezaurliturgic.ro



Υπὸ τὴν σὴν κραταιάν, προσφεύγω σκέπην, πανάμωμε, μὴ με παρίδῃς βυθῷ, δεινῷ χειμαζόμενον, καὶ ἐξαπορούμενον· ἀλλὰ δίδου χεῖρα βοηθείας μοι καὶ σῶσόν με.

Η τῶν πιστῶν ἀρραγής, προστάτις μόνη θεόνυμφε, προστάτις φάνηθι νῦν, κἀμοῦ τοῦ παντλήμονος, πάσης ῥυομένη με ἀπειλῆς καὶ νόσου καὶ ὀργῆς τῆς συνεχούσης με.

Τὰς τῶν δακρύων ῥοὰς μή μου παρίδῃς, Πανάχραντε, καὶ τοὺς πικροὺς στεναγμοὺς ἐνώτισαι, Δέσποινα, καὶ μὴ ἀπορρίψῃς με, μόνη προστασία τῶν πιστῶς νῦν δεομένων σου.

Επίβλεψον ἐπ' ἐμέ, ἱλέῳ ὄμματι, Δέσποινα, καὶ νοσημάτων δεινῶν, ἐκλύτρωσαι τάχιον, καὶ πάσης κακώσεως, νῦν προσδοκωμένης, καὶ παγίδος καὶ συμπτώσεως.

Τοῦ Ἁγίου. Ἐβόησε προτυπῶν.

Τὴν ἄμετρον ταπείνωσιν τότε ὡς ἔβλεψαν, καὶ προνοίᾳ τοῦ Θεοῦ σου ὡς ἄξιον ἔγνωσαν, οἱ συνόδου πρῶτοι τῆς Μηθύμνης ποιμένα προέστησαν.

Ισότιμος μὲν ἐκείνοις ἐγένου, μακάριε, ἐπελεύσει τῆς ἐξ ὕψους τοῦ πνεύματος χάριτος, ἀρετῇ, δὲ μείζων ἀνεφάνης τῷ κόσμῳ, Ἰγνάτιε.

Ενέθηκας, ἐπανελθὼν εὐφροσύνην καὶ ἄφατον, θυμηδίαν, ταῖς καρδίαις λαοῦ τοῦ ποιμνίου σου, καὶ σεπτὰς Μονάς σου, φαιδροτέρας προνοίᾳ σου ἔδειξας.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Σὺ γέγονας τῆς ἀρχαίας ἀρᾶς ἡ ἀναίρεσις, σὺ ὡς ἔδει, τοῖς ἀνθρώποις χαρὰν προξενήσασα, σύ, παρθενομῆτορ, τῶν βροτῶν τὴν οὐσίαν ἐκαίνισας.

Κοντάκιον ἦχος δ'. Ἐπεφάνης σήμερον.

Θησαυρὸν πολύτιμον θαυματουργοῦσαν, τοὺς πλουτοῦντας δούλους σου κάραν πανίερον τὴν σήν, ἱεροφάντορ Ἰγνάτιε, ἀσπαζόμενος ταύτην, ἡμᾶς διαφύλαττε.

Ὁ Οἶκος.

Προσελθόντες ἐνθάδε μετ' εὐλαβείας, βροτοὶ ἅπαντες αὐτόχθονές τε καὶ ἐπήλυδες, ἀκούσωμεν τὰ τῆς ἀρετῆς γενναῖα ἆθλα καὶ κατορθώματα Ἰγνατίου τοῦ πάνυ, τοῦ ἐκ Μηθύμνης βλαστήσαντος, καὶ ταύτην ἀρχιερατικῶς τιμήσαντός τε καὶ κοσμήσαντος τῷ καθ' ἑαυτὸν βίον τε καὶ τρόπον ἀρετῆς πρακτικωτάτῳ παραδείγματι, καὶ μυροβλήτου ἐν ἐσχάτοις ἡμῖν ἀναδειχθέντος μετὰ θάνατον Ἁγίου, καὶ τοῦτον ἕκαστος ἀνευφημοῦντες πρὸς τὸν δοξάσαντα αὐτὸν Θεὸν ἐκβοήσωμεν· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ὡς ἀγαθὸς καὶ παντοδύναμος, Ἰγνατίου τοῦ σοῦ θεράποντος πρεσβείαις, πάσης βλάβης ἡμᾶς διαφύλαττε.

Μηνὶ Ὀκτωβρίῳ ιδ'. Τοῦ ἐν Ἁγίοις Πατρός ἡμῶν Ἰγνατίου τοῦ νέου, ἀρχιεπισκόπου Μηθύμνης, τοῦ θαυματουργοῦ.

Ἔπαινον ᾄδω ἱερῷ Ἰγνατίῳ.
Ἀνθ' ὧν ἐς ἀεὶ τοῖς ἅπασιν ἀρήγει.
Βῆ δ' ὅ γ' ἐς οὐρανὸν ἐν δυάδι Ὀκτωβρίου ἑπτάδος.

www.tezaurliturgic.ro



Τὴν καταγωγὴν ἕλκων πιθανώτατα ἐκ Βυζαντίου, ἐγεννήθη ὁ φωστὴρ οὗτος τῆς Ἐκκλησίας Ἰγνάτιος εἰς Φάραγγα τῆς Λέσβου. Ὁ πατὴρ αὐτοῦ Μανουὴλ Ἀγαλλιανὸς ὀνομαζόμενος ἦν ἱερεὺς δι' ὃ καὶ ὁ υἱὸς αὐτοῦ τὴν ἱερωσύνην ἠγάπησεν ἐκ παιδός. Ἔφερε δὲ οὗτος τὸ ὄνομα Ἰωάννης, ὅπερ διετήρησεν γενόμενος ἱερεύς, μετωνομάσθη δὲ Ἰγνάτιος ὅτε ἐγένετο Ἐπίσκοπος. Οὗτος ὁ μακάριος κτίτωρ τῆς σεβασμίας ἱερᾶς Μονῆς Λειμῶνος γενόμενος καὶ τὴν ἑτέραν ἐν Καλλονῇ Μονὴν τῆς Μυρτιδιωτίσσης ἐν πατρῴῳ χώρῳ ἱδρυμένην ἀνεκαίνισε καὶ ἐν ἀμφοτέραις θείῳ ζήλῳ πυρπολούμενος, τοὺς αἱρουμένους τῆς ἰσαγγέλου μοναχικῆς πολιτείας συνήγαγεν, τὰς δὲ Μονὰς Πατριαρχικοῖς γράμμασι εἰς τὸ διηνεκὲς κατωχυρώσατο.

Τότε δὲ καὶ τῆς Ἐπισκοπῆς τῆς ἱστορικῆς καὶ παλαιφάτου ἱερᾶς Μητροπόλεως Μηθύμνης ἀξιοῦται ἣν καὶ ἐποίμανε θεοφιλῶς καὶ θεαρέστως τέτταρσιν ἔτεσιν. "Οἷον δὲ ἄμεπτον βίον καὶ πολιτείαν ἐνάρετον ἔδειξεν ἐν τῷ μοναχικῷ ἐπαγγέλματι, τοιαύτην διετράνωσε καὶ ἐπὶ τῆς ἀρχιερατικῆς αὐτοῦ διὰ τῆς πληθύος τῶν θεαρέστων πράξεων καὶ κατορθωμάτων". Ἐξαιρέτως δὲ τῇ παιδείᾳ μεγάλα προσενεγκὼν καὶ πλεῖστα ὑπὲρ αὐτῆς διαθέσας καὶ σχολὴν περιώνυμον "Λειμωνιάδα" ἐγκαθιδρύσας, τῆς ὑποδούλου Λέσβου ὄντως φωτιστὴς ἐγένετο.

Τοσαύτας καὶ τηλικαύτας ὑπηρεσίας τῇ Ἐκκλησίᾳ καὶ τῷ Ἔθνει ὁ Ἅγιος Ἰγνάτιος προσενεγκών, ἐν εἰρήνῃ τελειοῦται ἔτει χιλιοστῷ πεντηκοσιοστῷ ἑξηκοστῷ καὶ ἑβδόμῳ, οὗ ταῖς πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς.

## Τῆς Θεοτόκου. Ὠδὴ ζ'.

### Ὁ Εἱρμός.

Παῖδες Ἑβραίων ἐν καμίνῳ, κατεπάτησαν τὴν φλόγα θαρσαλέως, καὶ εἰς δρόσον τὸ πῦρ μετέβαλον βοῶντες· εὐλογητὸς εἶ, Κύριε ὁ Θεός, εἰς τοὺς αἰῶνας.

Ρᾶνον συνήθως ἐφ' ἡμᾶς σὺ τὰ ἐλέη σου, οἰκτίρμον Θεοτόκε, καὶ δεινῶν συμφορῶν καὶ νόσων πολυπλόκων, καὶ ἀπειλῆς διάσωσον, τοὺς πιστῶς σοι προσιόντας.

www.tezaurliturgic.ro



Κύμασιν ὅλον συμφορῶν με, καλυπτόμενον ἐξέγειρον καὶ σῶσον, πρὸς λιμένα χαρᾶς, ἰθύνασά με κόρη, ἡ τῆς χαρᾶς τὸν αἴτιον ἀπαθῶς ἀποτεκοῦσα.

Ὅλῃ τῇ γνώμῃ καὶ τῷ τρόπῳ καὶ καρδίᾳ σε πιστῶς ἐπικαλοῦμαι, τῶν πικρῶν στεναγμῶν, καὶ θρήνων καὶ δακρύων, ἀπαλλαγὴν αἰτούμενος καὶ φθορᾶς θανατηφόρου.

Ῥῦσαί με, ῥῦσαι, Θεοτόκε, τῆς παρούσης ἀπειλῆς, ὡς ἐλεήμων, τῆς παρούσης ὀργῆς, τὸν δοῦλόν σου βοῶντα· εὐλογημένη, πάναγνε, σὺ ὑπάρχεις θεομῆτορ.

Ἥλιος ὥσπερ φωτοφόρος, ἐκ νηδύος σου προῆλθεν ὁ Δεσπότης καταλάμπων τοὺς σοὶ πιστῶς ἀναβοῶντας· εὐλογημένος, πάναγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Τοῦ Ἁγίου. Ἐν τῇ καμίνῳ ἀβραμιαῖοι.

Μέτριος πρᾶος, καὶ ἐπὶ θρόνου ὤφθης βεβιωκώς, πάνυ ταπεινὸς γάρ, μᾶλλον δὲ εὐλαβῶς, τῷ Θεῷ λειτουργῶν ἔψαλλες· εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου, Κύριε.

Οὐ τὴν τυχοῦσαν, εὐφροσύνην ἐδέξατο πανδημεί, πάντα τὰ χωρία ὄντως ἐν τῇ ψυχῇ τῆς Μηθύμνης ὡς ἀπέλαυον, σὲ ὡς ἐζήτησαν, ἐκ Θεοῦ ποιμενάρχην θερμότατα.

Ὕπνον ὡς ἔγνως, τὸν ἐν Κυρίῳ σὺ ὡς προγνωστικός, πόθῳ τὰς σεπτάς σου κατέλαβες Μονάς, ἐν αἷς καὶ τὸ σῶμά σου, πλοῦτον ἀσύλητον, τοῖς σοῖς τέκνοις παρέθου, θεόσοφε.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Τὴν ὑπὲρ φύσιν, τὸν Σωτῆρα τοῦ κόσμου κυήσασαν, καὶ ἀπειρογάμως ἁγνὴν ὡς ἀληθῶς, χρηματίσασαν μητέρα Θεοῦ, ὡς θεομήτορα, πάντες εὐσεβῶς ἀνευφημήσωμεν.

Τῆς Θεοτόκου. Ὠδὴ η΄.

Ὁ Εἱρμός.

Ἑπταπλασίως κάμινον, τῶν χαλδαίων ὁ τύραννος, τοῖς θεοσεβέσιν, ἐμμανῶς ἐξέκαυσε, δυνάμει δὲ κρείττονι, περισωθέντας τούτους ἰδών, τῷ δημιουργῷ καὶ λυτρωτῇ ἀνεβόα· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἴδε τὸν πόνον, Δέσποινα, τῆς ἀθλίας καρδίας μου, ἴδε στεναγμούς, καὶ κοπετοὺς καὶ δάκρυα, καὶ ταῦτα μετάτρεψον εἰς χαρμονὴν ἀέναον, ὅπως σοι ἐν πίστει καὶ χαρᾷ ἐκβοήσω· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἱερωτέρα πέφηνας, τῶν ἀΰλων Δυνάμεων, ὡς τὸν ὅλων κτίστην ὑπὲρ νοῦν κυήσασα· ὃν νῦν ἐκδυσώπησον, πάσης ὀργῆς καὶ θλίψεως, πάσης ἀπειλῆς, πάσης ἀνάγκης καὶ νόσου, καὶ πάσης ἁμαρτίας λυτρωθῆναι τοὺς πίστει καὶ πόθῳ σε, Παρθένε, ἀεὶ δοξολογοῦντας.

Ὡς Νινευΐτας ἔσωσας μεταγνόντας, φιλάνθρωπε, οἷς ὁ Ἰωνᾶς καταστροφὴν ἐκήρυξε καὶ νῦν ἐλευθέρωσον, τῆς συνεχούσης θλίψεως καὶ τῆς ἐφεστώσης ἀπειλῆς ὡς οἰκτίρμων, πρεσβείαις τῆς ἀσπόρως, σὲ τεκούσης Παρθένου, τοὺς ὑπερυψοῦντάς σε, εἰς πάντας τοὺς αἰῶνας.

www.tezaurliturgic.ro



Ἄλλην ἐκτός σου, ἄμωμε, προστασίαν οὐ κέκτημαι, ῥύστην ἐν ἀνάγκαις καὶ θερμὴν βοήθειαν, ἐν νόσοις ἐπίσκεψιν, καὶ χαρμονὴν ἐν θλίψεσι, καὶ ἐν τοῖς κινδύνοις, ταχινὴν προστασίαν, εἰς σὲ μόνην ἐλπίζω, καὶ θαρρῶ καὶ προστρέχω· καὶ σὲ ἐπικαλοῦμαι τὴν κεχαριτωμένην.

Τοῦ Ἁγίου. Χεῖρας ἐκπετάσας.

Φίλον σε Θεοῦ προεγνωκὼς καὶ μετὰ θάνατον ὁ θεῖος Σίλβεστρος, Ἀλεξανδρέων ὁ πρόεδρος, τὸ μνημεῖον ἀνέῳξε· καὶ μυροβλήτην εὑρηκὼς σκιρτῶν ἐβόησεν· εὐλογεῖτε, πάντα τὰ ἔργα τὸν Κύριον.

Ρεῖθρον οἶά περ πηγῆς ἰδὼν τὸ ἀναβλύσαν σου, μύρον ἐκ μνήματος, μαθητῶν σου θεῖος σύλλογος, γεγηθὼς χεῖρας ἐκρότησε, καὶ ἐμμελῶς τὴν τοῦ Δαβίδ, ἐκκρούων λύραν πᾶσιν ἐβόα· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ὅση τις δυνάμει βουληθείς, πάτερ Ἰγνάτιε, ἅπερ ἐτέλεσας καὶ τελεῖς ἄπειρα θαύματα καθ' ἑκάστην διηγήσασθαι οὐκ ἐφικτὸν καθ' ἑαυτόν, ὁρῶν τὸ ἔργον, πᾶσι κραυγάζει· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Θεοτοκίον.

Ὁ διὰ ταπείνωσιν τὴν σὴν Θεὸς Λόγος, πάναγνε, οὐρανοὺς ἔκλινε, καὶ ἐνῴκησε τῇ μήτρᾳ σου ἀναπλάσας ἐξ αἱμάτων σου τοὺς συντριβέντας, ἡμᾶς τῇ ἁμαρτίᾳ, διὸ ὑμνοῦντες, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν τόκον σου.

Τῆς Θεοτόκου. Ὠδὴ θ'.

Ὁ Εἱρμός.

www.tezaurliturgic.ro



Εξέστη ἐπὶ τούτῳ ὁ οὐρανός, καὶ τῆς γῆς κατεπλάγη τὰ πέρατα, ὅτι Θεός, ὤφθη τοῖς ἀνθρώποις σωματικῶς· καὶ ἡ γαστήρ σου γέγονεν, εὐρυχωροτέρα τῶν οὐρανῶν· διό σε, Θεοτόκε, ἀγγέλων καὶ ἀνθρώπων ταξιαρχίαι μεγαλύνουσι.

Ναῷ σου παρεστῶτά με τῷ σεπτῷ, παναγία Παρθένε θεόνυμφε, καὶ τῶν πολλῶν, λύσιν ἐξαιτούμενον συμφορῶν, καὶ ὀδυρμῶν κατάπαυσιν, μή με ἀποστρέψῃς τὸν δυστυχῆ· ἀλλ' οἴκτειρον καὶ σῶσον, τῇ θείᾳ σου ἐντεύξει, ὅπως ἐν πίστει μεγαλύνω σε.

Νῦν πρόφθασον, Παρθένε, ὡς ἀγαθή, καὶ τῆς νῦν ἐξελοῦ περιστάσεως, τὸν ἐπὶ σοί, πᾶσαν προσδοκίαν ὡς ἀληθῆ, τιθέμενον οἰκέτην σου, καὶ κατερραγμένον ταῖς συμφοραῖς· ἀνάστησον ἐν τάχει, ἡ μόνη προστασία τῶν μετὰ πόθου δοξαζόντων σε.

Οὐκ ἔστιν ἐν ἀνθρώποις ὅς ἐπὶ σοί, τὴν ἐλπίδα ἀνέθετο, πάναγνε, καὶ χαλεποῖς πώποτε συνέπεσε λυπηροῖς, ἀλλ' εἰς χαράν, πανύμνητε, καὶ εἰς εὐφροσύνην διηνεκῆ, διὸ κἀμοῦ τὰ πλήθη, τῶν θρήνων καὶ τῶν πόνων, εἰς εὐθυμίαν μεταποίησον.

Υπέρτερον παντός με ἀνιαροῦ τὸν παντλήμονα δοῦλόν σου ποίησον, μήτηρ Θεοῦ, πάντων ῥυομένη τῶν δυσχερῶν· πάσης ὀργῆς καὶ θλίψεως καὶ τῆς ἐνεστώσης νῦν συμφορᾶς, διάσωσον, Παρθένε, τῇ θείᾳ σου δυνάμει· πάντα γὰρ ὅσα θέλεις δύνασαι.

www.tezaurliturgic.ro



Τοῦ Ἁγίου. Ἅπας γηγενής.

Ὕπνον τῶν ἡμῶν, βλεφάρων, φιλέορτοι, ἀποτινάξωμεν καὶ νηφαλιότητι προθύμως ὧδε πάντες προσέλθωμεν· πνευματικὴν γὰρ τράπεζαν, ἡμῖν προτίθησι, τῶν θαυμάτων, ὁ σοφὸς Ἰγνάτιος. Ἐντρυφῶντες οὖν τιμήσωμεν.*

Ῥήτορες δεινοί, ἰχθύες ὡς ἄφωνοι μένουσιν, Ἅγιε, ὅταν ἐγχειρήσουσι, τὰ τοῦ σοῦ βίου ὑμνῆσαι σκάμματα. Ποῖον γὰρ πρῶτον εἴπωσιν, ἢ ποῖον ὕστατον, ἀποροῦσιν· ὅθεν σου τὰ μείζονα, τῇ σιγῇ δεῖ τιμᾶσθαι προκρίνουσιν.

Ἔπιδε ἡμῖν, τοῖς δούλοις σου, Ἅγιε, Λεσβίων πάντων χαρά, τοῖς προσκαλουμένοις σου, τὸ θεῖον ὄνομα μετὰ πίστεως, καὶ τὰς Μονάς σου φύλαττε, καὶ πάντας τοὺς εὐσεβεῖς, τοὺς κατ' ἔτος, πόθῳ σου τὴν πάντιμον ἐκτελοῦντες πανήγυριν ᾄσμασιν.

Νεύρωσον κἀμοῦ, καὶ νοῦν καὶ διάνοιαν καὶ ἀποκάθαρον, πάσης τοῦ ἀλάσταρος σκοτεινοτάτης, ἀχλύος, Ἅγιε, ὅπως ἰσχύων ψάλλω σοι τοῦτον τὸν ἔπαινον, καθ' ἑκάστην μετὰ καθαρότητος, ἐκπληρῶν μου τὸ χρέος τὸ ἄφυκτον.

Θεοτοκίον.

Ὑπὲρ τὴν ἐμήν, ἰσχὺν ὅλως πέφυκε τὸ ἐξυμνῆσαί σε, κατ' ἀξίαν, Δέσποινα, θεοχαρίτωτε μητροπάρθενε, σὺ γὰρ πασῶν ὑπέρκεισαι ἐν γενεαῖς γενεῶν, καὶ ἀΰλων τάξεις ὑπερβέβηκας, ὡς Θεὸν ὑπὲρ φύσιν κυήσασα.

www.tezaurliturgic.ro



## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ

Τοῖς μαθηταῖς συνέλθωμεν.

Τὸ τῆς Μηθύμνης καύχημα, Χριστοῦ τὸν Ἱεράρχην, Ἰγνάτιον τὸν ἔκλαμπρον, οἰκουμένης φωστῆρα, τιμήσωμεν κατὰ χρέος, πρὸς Θεὸν ἐκβοῶντες· Θεέ, σῶσον, ἐλέησον, καὶ ἡμᾶς τοὺς σοὺς δούλους, καὶ τῆς χαρᾶς, τῆς οὐρανίου σου βασιλείας, ἀξίωσον, φιλάνθρωπε, Ἰγνατίου πρεσβείαις.

Θεοτοκίον.

Ὄρος Θεοῦ πανάγιον, καὶ λυχνίαν καὶ στάμνον, καὶ κιβωτὸν καὶ τράπεζαν, ῥάβδον τε καὶ πυρεῖον, καὶ θεῖον θρόνον καὶ πύλην, καὶ ναὸν καὶ παστάδα, ὑμνήσωμεν, θεόφρονες, τὴν ἁγνὴν καὶ παρθένον, ἐξ ἧς Θεός, σαρκωθεὶς ἀτρέπτως καὶ ὑπὲρ φύσιν, ἐθέωσε τὸ πρόσλημμα ἀπορρήτῳ ἑνώσει.

Εἰς τοὺς αἴνους, Πᾶσα πνοὴ ἱστῶμεν στίχ. δ', καὶ ψάλλομεν στιχηρὰ προσόμοια γ', δευτεροῦντες τὸ α'.

Ἦχος α'. Πανεύφημοι μάρτυρες, ὑμᾶς.

Ἡ Λέσβος ἀγάλλου πανδημεί, ὅτι ἔσχες φύλακα, καὶ πολιοῦχον θεόσδοτον, τὸν ἐξανθήσαντα, ἐκ τῶν σῶν χωρίων, ὡς ῥόδον ἡδύπνοον, καὶ ἀρχιερωσύνῃ ἐμπρέψαντα, τὸν πολυθαύμαστον, ἐν ἁγίοις χρηματίσαντα καὶ σὲ θείαις ἀρεταῖς κοσμήσαντα (Δίς).

Συνδράμωμεν πίστει ἀκλινεῖ, πάντες, ὦ φιλέορτοι, καὶ εὐλαβῶς ἀσπασώμεθα, τὴν θαυματόβρυτον, κάραν Ἰγνατίου, καὶ ἀπαρυσώμεθα, παθῶν ἀθεραπεύτων ἰάματα, καὶ ὀσφραινόμενοι, εὐωδίας, ἥνπερ ἄρρητον, ἀποπνέει πανταχοῦ κηρύξωμεν.

www.tezaurliturgic.ro



Ιγνάτιε, ὕψει ἀρετῶν, σαὐτὸν ἀνεπτέρωσας, καὶ αἰθερόδρομος ἔφθασας, πρὸς τὴν ἀκρόπολιν, τῶν ἐπουρανίων, ἔνθα συγχορεύουσιν, αἱ τάξεις τῶν Ἀγγέλων καὶ ψάλλουσι, τὸν ἐπινίκιον, τῇ Τριάδι ὕμνον ἄπαυστον, μετὰ πάντων τῶν Ἁγίων, Ἅγιε.

Δόξα. Ἦχος πλ. α'.

Ἀνέτειλεν ἡμῖν ὡς ἔαρ λαμπρόν, ἡ πανέντιμος καὶ φαιδρὰ ἡμέρα Ἰγνατίου τοῦ Χριστοῦ θεράποντος. Δεῦτε οὖν, φιλέορτοι, ἀποδρεψάμενοι ἄνθη τῶν ἀρετῶν μυρίπνοα, πνευματικῶς εὐφρανθῶμεν ἐπὶ τῇ μνήμῃ αὐτοῦ, καὶ μιμησώμεθα ἕκαστος αὐτὸν κατὰ δύναμιν· ὅπως καὶ ἡμεῖς, τῇ πρὸς Θεὸν αὐτοῦ ἐκτενεστάτῃ πρεσβείᾳ, ἄξιοι γενώμεθα δι' ἀρετῆς τῶν ἁμαρτιῶν ἡμῶν ἀφέσεως τυχεῖν, σωτηρίαν τε καὶ ἔλεον εὑρεῖν, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος τὴν πόλιν τὴν ἄσειστον τὸ τεῖχος τὸ ἄρρηκτον τὴν ἀρραγῆ προστασίαν καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Μεγαλυνάριον

Τὸν ἐν ἱεράρχαις θαυματουργόν, καὶ τὸν ἐν ἀνάγκαις ἀπροσμάχητον βοηθόν, τὸν θεῖον ποιμένα καὶ λειτουργὸν Κυρίου Ἰγνάτιον Μηθύμνης, πάντες τιμήσωμεν.

www.tezaurliturgic.ro



## ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ*

Εὐλογήσαντος τοῦ ἱερέως, λέγομεν τὸν (ΡΜΒ) ψαλμόν, "Κύριε εἰσάκουσον τῆς προσευχῆς μου". Καὶ εὐθὺς τὸ "Θεὸς Κύριος" μετὰ τῶν στίχων αὐτοῦ.

Εἶτα τὰ παρόντα τροπάρια.

Ἦχος δ'. Τῇ Θεοτόκῳ ἐκτενῶς.

Οἱ τῆς ἁγνείας ἐρασταὶ νῦν προσέλθετε
καὶ τῷ λειμῶνι Ἰγνατίου ἀθροίσθητε,
ἐν κατανύξει ᾄδοντες καὶ ψάλλοντες Θεῷ
ὅτι ἐθαυμάστωσεν, ἐν ἐσχάταις ἡμέραις
Κάραν τε καὶ λείψανα, εὐωδίᾳ ἀρρήτῳ.
Διὸ πρὸ τούτων πάντες ἀδελφοὶ
τὸν ἐπὶ πάντων Δεσπότην ὑμνήσωμεν.

Δόξα.

Δεῦτε προθύμως οἱ ἐν Λέσβῳ οἰκοῦντες
Κάραν τε θείου Ἰγνατίου τιμῶντες
μετὰ δακρύων ἅπαντες προσέλθωμεν πιστοί,
πίστει λιτανεύοντες καὶ προσπίπτοντες ἅμα
ἴασιν αἰτούμενοι τῶν ψυχῶν καὶ σωμάτων.
Νέμει γάρ πᾶσι χάριν δαψιλῆ
τοῖς μετὰ πόθου αὐτὸν ἱκετεύουσι.

Καὶ νῦν.

Οὐ σιωπήσωμεν ποτέ Θεοτόκε
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα
τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων,

* Ποίημα ΙΑΚΩΒΟΥ Μητροπολίτου Μηθύμνης.

www.tezaurliturgic.ro



τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους
οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ
σοὺς γὰρ δούλους σώζεις ἀεὶ
ἐκ παντοίων δεινῶν.

Εἶτα ὁ Ν' ψαλμὸς καὶ μετ' αὐτόν.

**Ο ΚΑΝΩΝ**

Οὗ ἡ ἀκροστιχίς.
"Ὦ Ἰγνάτιέ μου, σκέποις με ἀγρύπνοις λιταῖς σου. Ι.Μ."

Ἦχος πλ. δ' Ὠδὴ α'. Ὑγρὰν διοδεύσας.

Ὢ πῶς σοι προσέλθω ὁ ἐναγὴς
Τριὰς παναγία, τὰ ρυπώδη μέλη κομῶν,
ἀλλὰ ταῖς λιταῖς τοῦ Ἰγνατίου
τὸν ὕμνον δέχου κἀμοῦ τοῦ οἰκέτου σου.

Ἰγνάτιε πάτερ ὡς συμπαθὴς
δέησιν προσδέχου τοῦ θρηνοῦντός σοι γοερῶς,
καὶ ἀσπαζομένου σὴν εἰκόνα
μετὰ δακρύων καὶ πόθου πανόσιε.

Γεννήτορας, τέκνα καταλιπὼν
ἅπαντα, ἡδέως ἐπορεύθης τὴν ἀκλινῆ
τρίβον τοῦ Κυρίου, ἣν παρεῖδον
προσκολληθεὶς τοῖς γηΐνοις ὁ δείλαιος.

Δόξα. Τριαδικόν.

Ναόν με ἀπέργασαι, ὢ Τριὰς
καὶ θεῖον σου οἶκον, ἀποπλύνουσα τῶν παθῶν
ὡς καὶ τὸν Ἰγνάτιον τὸν θεῖον
ἀποκαθάρασα ὄντως ἡγίασας.

www.tezaurliturgic.ro



Καὶ νῦν. Θεοτοκίον.

Ἁγία Παρθένε, χριστιανῶν
πάντων ἡ προστάτις καὶ βοήθεια τῶν πιστῶς
σοὶ ἐν κατανύξει προσπιπτόντων,
ἀντιλαβοῦ ἐν ἡμέρᾳ τῆς κρίσεως.

Ὠδὴ γ'. Οὐρανίας ἁψίδος.

Τοὺς προσπίπτοντας, πάτερ, σοὶ εὐμενῶς πρόσδεξαι
καὶ τὰ παραπτώματα πάντων πάριδε, ὅσιε,
ἀντιδοὺς δαψιλῶς τὴν τοῦ Κυρίου εἰρήνην
ἣν καὶ ἐπεπόθησας καὶ καταπήλαυσας.

Ἰγνατίου δεήσεις, θαυματουργὲ Κύριε,
τοῦ θερμοῦ ἡμῶν νῦν προστάτου καὶ ἀντιλήπτορος
νῦν ἐπακούων, ἡμῖν ἀντικατάπεμψον πᾶσι
ἱλασμὸν πταισμάτων τε καὶ ἀπολύτρωσιν.

Εὐωδία σῆς Κάρας, ἁγίων ὦ συμπαθέστατε,
τὰ τῶν ψυχικῶν ἡμῶν νόσων καὶ τὰς τοῦ σώματος
ἀποκαθάρας τρανῶς νῦν χαλεπὰς ἀσθενείας
καὶ τῷ μύρῳ μύρισον καὶ εὐωδίασον.

Δόξα. Τριαδικόν.

Μυροβλήτης ἐδείχθης, ὦ Καλλονῆς καύχημα,
ὅτι τῇ Τριάδι προσῆλθες ἐν ταπεινότητι
μετὰ Πατρὸς τὸν Υἱὸν καὶ τὸ Πανάγιον Πνεῦμα
προσκυνῶν διδάσκων τε πάντας ἐν χάριτι.

www.tezaurliturgic.ro



Καὶ νῦν. Θεοτοκίον.

Ο Ἰγνάτιος, Κόρη, Χριστιανῶν καύχημα,
καὶ τὸν σὸν ναὸν οὐ παρεῖδε, ἀλλ' εἰσωκίσατο
χορὸν παρθένων ὑμνεῖν τὸν σὸν Υἱὸν ἐν ἀγάπῃ
καὶ Μονὴν ἀνέδειξεν, ὦ Ἀειπάρθενε.

Διάσωσον ἀπὸ κινδύνων σοὺς δούλους ὦ Θεοφόρε,
ὅτι πάντες ἐν πειρασμοῖς ναῷ σου προστρέχομεν
αἰτούμενοι λύσιν ἀμπλακημάτων.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Εἶτα μνημονεύει ὁ ἱερεύς, τῶν δι' οὓς ἡ παράκλησις γίνεται καὶ ψάλλομεν τὸ "Κύριε ἐλέησον". Ὁ ἱερεὺς. "Ὅτι ἐλεήμων".

Καὶ εὐθὺς ψάλλομεν τὸ Κάθισμα.

Ἦχος β'. Πρεσβεία θερμή.

Ποιμένα θερμὸν κεκτήμεθα, Ἰγνάτιε,
λαὸς Καλλονῆς Μηθύμνης τε μακάριε,
ἐκτενῶς προσπίπτοντες τῇ σῇ Κάρᾳ πάντοτε δεόμεθα,
μὴ ἐλλίπης πρεσβεύειν τῷ Θεῷ,
ὡς ἔχων παρρησίαν πρὸς Κύριον.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Υμνῳδίαν προσάγομεν
οἱ ταῖς τρικυμίαις νῦν χειμαζόμενοι
καὶ ταῖς βίου περιστάσεσι,
ἐξελοῦ κινδύνων, ἀξιάγαστε.

www.tezaurliturgic.ro



Σὺ γενοῦ ἡμῖν πρόμαχος
τῶν περικυκλούντων δεινῶν, Ἰγνάτιε,
οἱ τῇ Κάρᾳ σου προστρέχοντες
καὶ ἐν κατανύξει ἱκετεύοντες.

Καὶ τὸν κόσμον, Ἰγνάτιε,
καὶ τὰ ἐν τῷ κόσμῳ τερπνὰ παρείδομεν
ταῖς μοναῖς σου δὲ προσήλθομεν
προστασίαν ἄμαχον αἰτούμενοι.

Δόξα. Τριαδικόν.

Ἐπλανήθην ὡς πρόβατον
ταῖς τῆς ἁμαρτίας τρίβοις, πανόσιε,
τῆς Τριάδος λάτρην ποίησον
ἵν' ἐν ὕμνοις ταύτην μεγαλύνωμεν.

Καὶ νῦν. Θεοτοκίον.

Παναγία θεόνυμφε
ταῖς τοῦ Ἰγνατίου θερμαῖς δεήσεσι
τοῦ Υἱοῦ σου, μητροπάρθενε,
κληρονόμον ἄξιον ἀνάδειξον.

Ὠδὴ ε'. Φώτισον ἡμᾶς.

Ὅλος ἐν φωτὶ σὺ ὑπάρχων, ὦ Ἰγνάτιε,
τοὺς δεομένους φώτισον, ἀγαθέ,
ἵνα τοῦ σκότους ἐκφύγωμεν πᾶσαν κάκωσιν.

Ἵλεον ἡμῖν τὸν Σωτῆρα νῦν ἀπέργασαι
τοῖς καταφεύγουσι πόθῳ τῷ ἱερῷ,
καὶ ταῖς σεπταῖς μοναῖς σου διημερεύουσι.

www.tezaurliturgic.ro



Σώζεις ὡς πατὴρ τοὺς προστρέχοντας τῇ σκέπῃ σου
καὶ νοσημάτων λύσιν πᾶσιν ἡμῖν
ὡς ἰατρὸς τῶν σωμάτων βραβεύεις Ὅσιε.

Δόξα. Τριαδικόν.

Μέγα ἀληθῶς τὸ μυστήριόν σου, Ἅγιε,
τρεῖς ὑποστάσεις Πατέρα καὶ τὸν Υἱὸν
καὶ τὸ Πανάγιον Πνεῦμα ὑμνοῦμεν ἅπαντες.

Καὶ νῦν. Θεοτοκίον.

Ἔλεος, Ἁγνή, καὶ εἰρήνην πᾶσι δώρησαι
ταῖς Ἰγνατίου μάκαρος ἱεραῖς
καὶ εὐπροσδέκτοις δεήσεσι, παμμακάριστε.

Ὠδὴ ς'. Τὴν δέησιν.

Ἀρχάγγελε, Μιχαὴλ Πρωτάγγελε,
ἐν Λειμῶνι Ἰγνατίου ἑδρεύων
πάντων ἡμῶν ἱκεσίας προσδέχου
ταῖς τοῦ Ὁσίου ἐνθέρμοις δεήσεσι·
καὶ δίδου πᾶσιν ἀπελθεῖν
ἐν χαρᾷ, ἀγαθέ, εἰς τὰ ἴδια.

Γεγόναμεν πεπτωκότων καύχημα
ἐναρέτων ἀθυμία καὶ γέλως
ὅτι ἀεὶ ταῖς μερίμναις τοῦ βίου
ἐκδαπανῶμεν ἡμέρας ζωῆς ἡμῶν,
Ἰγνάτιε θαυματουργέ,
σὺ ἀνάστησον πάντας δεόμεθα.

www.tezaurliturgic.ro



Ρυόμενος σαῖς πρεσβείαις, Ἅγιε,
τῶν παγίδων τοῦ ἐχθροῦ καθ' ἑκάστην,
πάλιν ἰδοὺ ἁμαρτίας προσάγω
τῷ Λυτρωτῇ μου, Ἰγνάτιε ἔνδοξε,
διὸ προσπίπτω ταπεινῶς
ἱκετεύων ρυσθῆναι με πτώσεων.

Δόξα. Τριαδικόν.

Υμνοῦμέν σε, Παντοκράτορ, Κύριε,
Τρισυπόστατε, Τριὰς Παναγία,
ὅτι ἡμᾶς οὐ παρεῖδες ἐν θλίψει
ἀλλ' Ἰγνατίου λιταῖς, ἠλευθέρωσας
ἁπάντων τῶν ἀνιαρῶν
διὸ πάντες ὑμνοῦμεν τὸ κράτος σου.

Καὶ νῦν. Θεοτοκίον.

Πανύμνητε, Παναγία Δέσποινα,
Μυρσινιώτισσα, τοῦ θείου Ποιμένος
καύχημα νῦν καὶ ἀεί, Θεομῆτορ,
ὅθεν ἡμεῖς ἐν χαρᾷ σοὶ προσπίπτομεν
δεόμενοι πανευλαβῶς
Ἰγνατίου δεήσεις ἐκπλήρωσον.

Διάσωσον ἀπὸ κινδύνων σοὺς δούλους, ὦ Θεοφόρε,
ὅτι πάντες ἐν πειρασμοῖς ναῷ σου προστρέχομεν
αἰτούμενοι λύσιν ἀμπλακημάτων.

Επίβλεψον ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

www.tezaurliturgic.ro



Καὶ πάλιν μνημονεύει ὁ ἱερεὺς τῶν δι' οὓς ἡ παράκλησις γίνεται.

Μετὰ τὴν ἐκφώνησιν "Ὅτι ἐλεήμων".

Κοντάκιον.
Ἦχος δ'. Προστασία τῶν Χριστιανῶν.

Προστασίαν σε οἱ ἐν Μηθύμνῃ κεκτήμεθα
καὶ πάντες οἱ ἐν κατανύξει προσφεύγοντες·
ἱκετεύοντες μετὰ δακρύων ἅπαντες θερμῶν, ὦ Ἰγνάτιε,
ἀντιλαβοῦ καὶ ῥῦσαι ἅπαντα λαὸν
ἐκτενῶς δεομένου σου·
ῥῦσαι πάσης ἀνάγκης, λιμοῦ, σεισμοῦ καὶ πολέμου,
τό γένος τῶν χριστιανῶν, μεσιτεύων πρός τόν Κύριον.

Προκείμενον.
Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.
Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Εὐαγγέλιον κατὰ Λουκᾶν
(Κεφ. 13, 5-9)

Εἶπεν ὁ Κύριος, ἐὰν μὴ μετανοήσητε, πάντες ὁμοίως ἀπολεῖσθε. Ἔλεγε δὲ ταύτην τὴν παραβολήν· συκῆν εἶχέ τις ἐν τῷ ἀμπελῶνι αὐτοῦ πεφυτευμένην, καὶ ἦλθε ζητῶν καρπὸν ἐν αὐτῇ, καὶ οὐχ εὗρεν. εἶπε δὲ πρὸς τὸν ἀμπελουργὸν ἰδοὺ τρία ἔτη ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ ταύτῃ, καὶ οὐχ εὑρίσκω· ἔκκοψον αὐτήν· ἱνατὶ καὶ τὴν γῆν καταργεῖ; ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· κύριε, ἄφες αὐτὴν καὶ τοῦτο τὸ ἔτος, ἕως ὅτου σκάψω περὶ αὐτὴν καὶ βάλω κοπρίαν· κἂν μὲν ποιήσῃ καρπόν· εἰ δὲ μήγε, εἰς τὸ μέλλον ἐκκόψεις αὐτήν.

Ὁ χορός. Δόξα σοι Κύριε, δόξα σοι.

www.tezaurliturgic.ro



Δόξα. Ταῖς τοῦ Ἱεράρχου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλέησόν με ὁ Θεός.

Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Ὅλην ἀποθέμενοι, πρός σὲ τὴν πᾶσαν ἐλπίδα
ἡμεῖς οἱ προσπίπτοντες, σὲ καθικετεύομεν, Ὁσιώτατε.
Ἐξελοῦ ἅπαντας, δυναστείας ὄφεως,
τῶν παγίδων καὶ κακώσεων,
βλάβης τε θλίψεως, καὶ παντοίας, πάτερ, κακώσεως.
Ἵνα εὐγνωμόνως, Ἰγνάτιε, τιμῶμέν σου πιστῶς,
τὴν χαριτόβρυτον κάραν σου, ἣν ἡμῖν ἐδώρησας.

Ὁ ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

Τὸ "Κύριε ἐλέησον" καὶ μετὰ τὴν ἐκφώνησιν, "Ἐλέει καὶ οἰκτιρμοῖς".

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ναὸς Θεοῦ ἐδείχθης,
καθαρότητι βίου ἐν τῷ Λειμῶνί ποτε,
Τριάδα τὴν ἁγίαν λατρεύων ὀρθοδόξως,
σὺν Ἀγγέλων τε τάγμασιν,
ὁ τῶν πατέρων βοῶν, θεὸς εὐλογητὸς εἶ.

Ὀρθρίζοντες ἐν πίστει,
ἁγιώτατε πάτερ, ἐν κατανύξει ψυχῆς,
βοῶμεν ἐκ καρδίας, ἱλάσθητι παμμάκαρ,
τῶν πταιόντων νῦν τέκνων σου,
Εὐλογητὸς ὁ Θεὸς ἀδόντων εἰς αἰῶνας.

www.tezaurliturgic.ro



Ισχὺν τὴν τοῦ Κυρίου,
προσελάβου ἀξίως παρὰ Χριστοῦ τοῦ Θεοῦ
ἰσχὺν κἀμοὶ μετάδος ἐν πίστει δυσωπῶ σε,
ὦ Ἰγνάτιε ἔνδοξε,
καὶ γόνυ κλίνων βοῶ, Θεὸς εὐλογητὸς εἶ.

Δόξα. Τριαδικόν.

Συνέτισον, οἰκτίρμον,
τὰς καρδίας ἁπάντων τοῦ ἀνυμνεῖν ἐν χαρᾷ,
Πατέρα σὺν Υἱῷ τε καὶ Πνεύματι ἁγίῳ
κατανύξει κραυγάζοντες,
ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Καὶ νῦν. Θεοτοκίον.

Λειμὼν ὄντως ἐδείχθης,
ἀρετῶν, Παναγία, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ,
διὸ καὶ τῷ λειμῶνι Ἰγνάτιος προσῆλθε
καὶ συμψάλλων ἐκραύγαζεν,
ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Τὸν βασιλέα τῶν οὐρανῶν.

Ιγνάτιέ μου παρακαλῶ,
μὴ παρίδῃς τὴν οἰκτρὰν ἱκεσίαν·
ἀλλὰ ἀξίωσον δοξάζειν Χριστὸν εἰς τοὺς αἰῶνας.

Τοὺς δεομένους σοι ἐκτενῶς,
καὶ ἐν πόθῳ σωτηρίαν αἰτοῦντας,
ἐπάκουσον ἵνα σε τιμῶμεν Χριστὲ εἰς τοὺς αἰῶνας.

www.tezaurliturgic.ro



Ἀπὸ παντοίας νῦν συμφορᾶς,
καὶ κακώσεως, λιμοῦ καὶ θανάτου,
ἐξάρπασον ἵνα σε ἐν ὕμνοις ὑμνῶμεν εἰς αἰῶνας.

Δόξα. Τριαδικόν.

Ἰγνάτιός τε καὶ οἱ λοιποί,
ἐν ὁσίων καὶ μαρτύρων χορείαις,
Τριάδι ᾄδουσιν ἀπαύστως εἰς πάντας τοὺς αἰῶνας.

Καὶ νῦν. Θεοτοκίον.

Σὺν τῇ Παρθένῳ νῦν Μαριάμ,
Ἰγνατίῳ τε καὶ πᾶσιν ἁγίοις,
Τριάδα ἅπαντες ὀρθοδόξως, ὑμνεῖτε εἰς αἰῶνας.

Ὠδὴ θ'. Κυρίως Θεοτοκίον.

Σοφίαν τὴν ἐξ ὕψους, ἔλαβες Θεόφρον,
καὶ μετεβίβασας ταύτην παντὶ τῷ λαῷ,
διακονῶν τοῖς ἁγίοις ὡς ἐνθεώτατος.

Ὁρῶν τοῦ Ἰγνατίου ὁ πιστὸς λαός σου
τὴν βιοτὴν καὶ τὸν ζῆλον, Χριστὲ ὁ Θεός,
ἐδοξολόγει ἀπαύστως σοῦ θείαν δύναμιν.

Ἡμᾶς τοὺς δεομένους, πάντας τῷ ναῷ σου
ἐν κατανύξει καρδίας ἐπάκουσον νῦν,
ὡς συμπαθέστατος, πάτερ, σοφὲ Ἰγνάτιε.

www.tezaurliturgic.ro



Δόξα. Τριαδικόν.

Ιδεῖν κατηξιώθης τὰ ἐν παραδείσῳ,
ὡς ἐραστὴς τούτων πάτερ σοφέ, διὸ νῦν
τοῖς ἱκετεύουσι δίδου πᾶσι τὴν ἄφεσιν.

Καὶ νῦν. Θεοτοκίον.

Μαρία Θεοτόκε, Ἄχραντε Παρθένε,
σὺν Ἰγνατίῳ δυσώπει Χριστὸν τὸν Θεόν,
τοῦ εὐλογῆσαι τὴν νῆσον καὶ κόσμον ἅπαντα.

Καὶ εὐθὺς τὸ "Ἄξιόν ἐστι" καὶ τὰ Μεγαλυνάρια.
Τὸ ἤδη ἐν τῇ Μονῇ ψαλλόμενον.

Τὸν ἐν Ἱεράρχαις θαυματουργὸν
καὶ τὸν ἐν ἀνάγκαις ἀπροσμάχητον βοηθὸν
τὸν θεῖον ποιμένα καὶ λειτουργὸν Κυρίου,
Ἰγνάτιον Μηθύμνης πάντες τιμήσωμεν.

Καὶ τὰ παρόντα.

Χαίροις Μηθυμναίων ὁ ὁδηγὸς
Λεσβίων προστάτης καὶ Λειμῶνος ὁ θησαυρὸς
ἡμῶν δὲ ἁπάντων προστασία
Ἰγνάτιε παμμάκαρ θεομακάριστε.

Ἔχει μὲν τὸ πνεῦμά σου οὐρανὸς
ἡμεῖς δὲ πλουτοῦμεν Κάραν θείαν σου ἐν χαρᾷ
μετὰ σῶν λειψάνων, Θεοφόρε,
καὶ τούτοις ἐν κινδύνοις ἀεὶ προστρέχομεν.

Πάντες οἱ ἐν νόσοις καὶ συμφοραῖς
προσέλθετε πόθῳ Ἰγνατίου ταῖς ἱεραῖς
μοναῖς, καὶ ἀσπάσασθε προθύμως
τὴν χαριτόβρυτον Κάραν γηθόμενοι.

www.tezaurliturgic.ro



Πρόσδεξαι τὴν δέησιν ὁ Θεὸς
ἡμῶν τῶν σῶν δούλων, ἱκεσίαις τοῦ ἱεροῦ
πατρὸς ἡμῶν θείου Ἰγνατίου
καὶ ἄνες, ἄφες ἡμῶν τὰ ἐγκλήματα.

Κάραν σου πλουτοῦμεν, θαυματουργέ,
Ἰγνάτιε πάτερ, καταφύγιον ἐν δεινοῖς,
καὶ ταύτῃ προστρέχομεν ἐν πίστει
ἀπεκδεχόμενοι χάριν καὶ ἔλεος.

Ρῦσαι τῶν παγίδων τοῦ πονηροῦ
εἰρήνευσον, πάτερ, τὰ σὰ τέκνα καὶ χαρμονὴν
ἀντὶ λύπης δὸς καὶ τὴν ὑγείαν
τῶν προσπιπτόντων, ναῷ σου πανθαύμαστε.

Εν τῇ γῇ ἠγάπησας τὸν Χριστὸν
καὶ εὗρες ἀξίως θύραν ὄντως τῶν οὐρανῶν
ταύτην καὶ ἡμῖν ἄνοιξον, πάτερ,
πρὸς ἀνοδίας κακῶν παρεκκλίνοντας.

Δέξαι ἱκεσίας τῶν ταπεινῶς
νῦν καὶ ἐν ὀδύνῃ προσελθόντων σοι, ἀσκητά,
καὶ τάχος μετάδος τὴν ὑγείαν
ψυχῶν, σωμάτων θεόφρον Ἰγνάτιε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαὶ
Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκὰς
οἱ Ἅγιοι Πάντες μετὰ τῆς Θεοτόκου
ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

Εἶτα, Τρισάγιον, καὶ τὸ

www.tezaurliturgic.ro



Ἀπολυτίκιον. Ἦχος α'.

Τὸν ποιμενάρχην Μηθύμνης Ἰγνάτιον ἄσμασι
τὸν μετὰ πάντων ἁγίων δοξασθέντα ἐν θαύμασιν,
ὑμνήσωμεν ἀπαύστως οἱ πιστοὶ
συμφώνως ἐν τῇ τούτου ἑορτῇ
καὶ ὡς πλεῖστα κατιδόντες ὑπ' αὐτοῦ
θεραπευθέντα πάθη ἐκβοήσωμεν.
δόξα τῷ σὲ δοξάσαντι,
δόξα τῷ σὲ στεφανώσαντι,
δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Ἕτερον

Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ὡς στῦλος ἀκλόνητος τῆς Ἐκκλησίας Χριστοῦ
καὶ λύχνος ἀείφωτος τῶν Μηθυμναίων φωστήρ.
Φανεὶς ὦ Ἰγνάτιε·
Λύτρωσαι τοὺς σοὺς δούλους ἐκ παντοίων κινδύνων
τὴν χάριν τῶν ἰαμάτων ἐπαντλῶν ἀεννάως
τοῖς μετὰ πόθου Ἅγιε τὸ σὸν
ἐπικαλουμένοις θαυμάσιον ὄνομα.

Ὁ Ἱερεὺς μνημονεύσας καὶ πάλιν τῶν πιστῶν, ὑπὲρ ὧν γίνεται ἡ παράκλησις, ποιεῖ ἀπόλυσιν.

Μετὰ δὲ ταύτην, ἐν ὅσῳ ἀσπαζόμεθα τὴν ἁγίαν Κάραν, ψάλλεται τὸ παρόν.

www.tezaurliturgic.ro



Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Δεῦτε νῦν προσπέσωμεν πιστοί,
Κάρᾳ τοῦ σεπτοῦ Ἰγνατίου καθικετεύοντες,
ἅπαντες ἐν δάκρυσι καὶ ἐκ βαθέων ψυχῆς,
ἐξελοῦ ἡμᾶς, Ἅγιε, παντοίων κινδύνων,
πάσης περιστάσεως καὶ πειρασμῶν τοῦ ἐχθροῦ·
ἵνα εὐχαρίστῳ καρδίᾳ
λύσιν αἰτημάτων λαβόντες,
δόξαν τῷ Κυρίῳ ἀναπέμπωμεν.

Καὶ τὰ Θεοτοκία.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου
καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰ σὲ ἀνατίθημι
Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ὁ ἱερεύς. Δι' εὐχῶν.

www.tezaurliturgic.ro



# ΧΑΙΡΕΤΙΣΜΟΙ

## ΚΟΝΤΑΚΙΟΝ

Ἦχος πλ. δ'. Τῇ Ὑπερμάχῳ.

Ἐν τῷ Λειμῶνι ἑορτίως συνανέλθωμεν
καὶ τοῖς λειψάνοις Ἰγνατίου νῦν προσπέσωμεν
Μηθυμναῖοι καὶ Μονῇ τῆς Μυρσινιωτίσσης·
ἀπαντλοῦντες τῇ προσψαύσει τὰ ἰάματα
τῶν ψυχῶν καὶ τῶν σωμάτων, ἀναμέλποντες
ἐν χαρᾷ αὐτῷ, Χαίροις Λέσβου τὸ καύχημα.

## ΟΙ ΟΙΚΟΙ

Ἄγγελοι οὐρανόθεν σὺν βροτοῖς ἐν Λειμῶνι
ἀθροίσθητε ὑμνῆσαι ἀξίως (ἐκ γ')
τὸν ἐν ἁγιότητι ἐν γῇ, διαλάμψαντα περιφανῶς
ὅσιον Ἰγνάτιον, Μηθύμνης προεξάρξαντα
βοῶντες οὕτω:
Χαῖρε, ἀστὴρ ἐν τῇ Λέσβῳ φαίνων
χαῖρε, φωστὴρ Μηθυμναίων φέγγος.
Χαῖρε, Παναγίας ὁ μύστης ὁ ἄριστος,
χαῖρε, τοῦ Λειμῶνος ὁ κτίτωρ ὁ ἔνθεος.
Χαῖρε, ὅτι ἐχρημάτισας σὺ δοχεῖον ἀρετῶν,
χαῖρε, ὅτι κατεμύρισας Ἐκκλησίαν τῶν πιστῶν.
Χαῖρε, πᾶσι παρέχων τὴν εἰρήνην Κυρίου,
χαῖρε, ταύτην βραβεύων κατ' ἀξίαν ἐν βίῳ.
Χαῖρε, λιμὴν πλεόντων πανάριστε,
χαῖρε, ποιμὴν προβάτων πανθαύμαστε.
Χαῖρε, δι' οὗ κατηυγάσθημεν πάντες,
χαῖρε, μεθ' οὗ τὴν Τριάδα ὑμνοῦμεν,

Χαίροις Λέσβου τὸ καύχημα.

www.tezaurliturgic.ro



Βλέπων σε ὁ γεννήτωρ τὴν ὁδὸν τοῦ Κυρίου
βαδίζοντα, ἐν πόθῳ ἀνύμνει, τὴν ἀειμακάριστον
Μητέρα Χριστοῦ σὺν Ἀγγέλων τάγμασιν ὁμοῦ
καὶ ἔκθαμβος τὴν αἴνεσιν ἀνέφερε
τῷ πάντων Βασιλεῖ κραυγάζων,

**Ἀλληλούϊα.**

Γέγονας φῶς ἐν σκότει, ὑποδούλων, παμμάκαρ,
διδάσκων, νουθετῶν καὶ στηρίζων.
Σὺ γὰρ ἐν τῇ σκοτίᾳ λαμπρὸς ἀνεφάνης πᾶσιν
ὡς φωστὴρ ἥλιος, καὶ λάμποντα ὁρῶντά σε,
τὰ πλήθη τῶν πιστῶν ἐβόων.
Χαῖρε, πατὴρ τῶν πατέρων πάτερ,
χαῖρε, ποιμὴν τῶν ποιμένων ὄντως.
Χαῖρε, θλιβομένων παράκλησις ἔμμονος,
χαῖρε, τῶν νοσούντων θεράπων θερμότατος.
Χαῖρε, ὅτι καθωδήγησας πρὸς Χριστὸν τοὺς ἐκλεκτούς,
χαῖρε, ὅτι σὺ ἐξέθρεψας ὀρθοδόξως τοὺς λαούς.
Χαῖρε, σὺ γὰρ ἐγένου παραμύθιον πᾶσι,
χαῖρε, φῶς ὁ παρέχων ἀρετῶν λαμπηδόσι.
Χαῖρε, φωστὴρ φωτίζων τὰ πέρατα,
χαῖρε, παθῶν πραΰνων τὰ κύματα.
Χαῖρε, Χριστὸν διὰ βίου δοξάσας,
χαῖρε, Χριστοῦ τὸ σωτήριον ᾄσας,

**Χαίροις Λέσβου τὸ καύχημα.**

Δύναμις ἀσθενοῦσι παραδόξως ἐφάνης,
στερρόν τε καταφύγιον πάτερ.
οἱ γὰρ πεφορτισμένοι κακοῖς, πρὸς Λειμῶνα πάντες
πανοικὶ ἔσπευδον, τὴν ἴασιν λαμβάνοντες
καὶ κράζοντες ἐνθέως ἅμα,

**Ἀλληλούϊα.**

www.tezaurliturgic.ro



Ἔχοντές σε προστάτην οἱ ἐν Φάραγγι πάντες
προσήρχοντο ἀκοῦσαι σῶν λόγων,
λυτρωθῆναι ψυχάς τε αὐτῶν
ἀπὸ πάσης ἐχθροῦ μηχανῆς, Ἅγιε,
διό σε ἐμεγάλυνον, ἐν ᾄσμασι βοῶντες ταῦτα.
Χαῖρε, ἡμῶν ἰατρὸς καὶ ῥύστης,
χαῖρε, πιστῶν Ὀρθοδόξων μύστης.
Χαῖρε, Καλλονῆς καὶ τῆς Λέσβου τὸ καύχημα,
χαῖρε, τῶν λογίων Κυρίου ἀπάνθισμα.
Χαῖρε, ὅτι ἀναδέδειξαι τῶν πτωχῶν καταφυγή,
χαῖρε, πάντων ἡ ἀντίληψις, βοηθὸς καὶ προσφυγή.
Χαῖρε, ὅτι ἐφάνης ὡς ἀστὴρ ἐν τῇ νήσῳ,
χαῖρε, ὅτι ἀγῶνα τὸν καλὸν ἠγωνίσω.
Χαῖρε, πιστῶν ὑπόδειγμα τέλειον,
χαῖρε, κανὼν τῆς πίστεως ἄριστος.
Χαῖρε, πολλοὺς πατρικῶς κατηχήσας,
χαῖρε, ψυχὰς κλονουμένων στηρίξας,

**Χαίροις Λέσβου τὸ καύχημα.**

Ζῆλον θεῖον αὐξήσας ἐν καρδίᾳ σου πάτερ,
ἐπτέρωσας ψυχὴν πρὸς τὰ ἄνω·
καθ' ἑκάστην λατρεύων, ὑμνῶν, ἐν Λειμῶνι
Πατέρα, Υἱὸν Πνεῦμα τε Ἅγιον καὶ Σύνθρονον,
προσᾴδων τῇ Τριάδι οὕτως,

**Ἀλληλούϊα.**

Ἤκουσας, Θεοφόρε, τῆς φωνῆς τοῦ Κυρίου
καλοῦντός σε ποιμάναι ὁσίως εἰς νομὰς σωτηρίους
σοφῶς, καὶ φωτίσαι ψυχὰς τοῦ λαοῦ, Ἅγιε·
διὸ οἱ φωτισθέντες εὐγνωμόνως
κελλαδοῦσι ταῦτα:

www.tezaurliturgic.ro



Χαῖρε, φωστὴρ ἐν Λειμῶνι φαίνων,
χαῖρε, ψυχὰς εὐσεβῶν πιαίνων.
Χαῖρε, θλιβομένων ἁπάντων παράκλησις,
χαῖρε, καταδίκης ἡμῶν ἡ ἀνάκλησις.
Χαῖρε, πάντων αὐτεπάγγελτος βοηθὸς καὶ ὁδηγός,
χαῖρε, χάριτος τοῦ Πνεύματος Ζωοδόχου χορηγός.
Χαῖρε, Χριστοῦ θεράπων πανάριστος,
χαῖρε, λαοῦ ποιμὴν ὁ πανάγιος.
Χαῖρε, ἡμῶν καταφύγιον θεῖον,
χαῖρε, πιστῶν παραμύθιον μέγα,

**Χαίροις Λέσβου τὸ καύχημα.**

Θέλων ἐν τῇ καρδίᾳ ἐκτενῶς τῷ Κυρίῳ,
λατρεύειν ἐν νυκτὶ καὶ ἡμέρᾳ,
ἐν Λειμῶνι προσῆλθες σοφέ, καὶ Μονὴν Ἀρχαγγέλων
εὐθὺς ἔπηξας, νηστείαις, ἀγρυπνίαις
καὶ δεήσεσι κραυγάζων οὕτως,

**Ἀλληλούϊα.**

Ἴσχυσας, Θεοφόρε, πανουργεύματα πάντα
ἐχθροῦ τοῦ βροτοκτόνου ὀλέσαι·
τῇ γὰρ θείᾳ δυνάμει Σταυροῦ
ὑπομένων ὑπέμεινας, θλιβόμενος,
νυνὶ δὲ ἀγαλλόμενος ἀκούεις παρ' ἡμῶν τοιαῦτα.
Χαῖρε, πολλὰς ὑπομείνας θλίψεις,
χαῖρε, δεινῶν χορηγῶν τὰς λύσεις.
Χαῖρε, βασιλείαν Χριστοῦ κληρωσάμενος,
χαῖρε, δι' ἀγώνων αὐτὴν ὠνησάμενος.
Χαῖρε, ὅτι καταπήλαυσας τὴν εἰρήνην ἐν Χριστῷ,
χαῖρε, ταύτην ὁ δωρούμενος τοῖς πιστεύουσιν αὐτῷ.
Χαῖρε, ὅτι ἐδόθης Μηθυμναίων προστάτης,
χαῖρε, τῶν Ὀρθοδόξων ὁ ταχὺς παραστάτης.

www.tezaurliturgic.ro



Χαῖρε, φωστὴρ Λειμῶνος ἀκοίμητος,
χαῖρε, ἡμῶν ὁ πρέσβυς ὁ ἔνθεος.
Χαῖρε, πιστοῖς τὴν εἰρήνην βραβεύων,
χαῖρε, ἡμᾶς πατρικῶς ὁ παιδεύων,

**Χαίροις Λέσβου τὸ καύχημα.**

Κύματα τῆς κακίας προσευχῇ κατευνάσας
συγγνώμην ἐδωρήσω τοῖς πᾶσιν·
οἱ δ' ἐχθραίνοντές σε πανοικί,
ἐν ἀγάπῃ Θεοῦ, παρὰ σοῦ ἤκουον,
εἰρήνη καὶ συγχώρησις· διὸ καὶ τῷ Χριστῷ ἐβόων,

**Ἀλληλούϊα**

Λάμψον τοῖς σὲ ὑμνοῦσιν, Ἁγιώτατε Πάτερ,
φωσφόρον τοῦ Κυρίου τὴν χάριν·
ἰδοὺ γὰρ μετὰ πόθου ἡμεῖς ἐν Μοναῖς σου,
ψαλμοῖς καὶ ᾠδαῖς ψάλλομεν τὴν μνήμην σου γεραίροντες,
ἐν ὕμνοις καὶ βοῶντες οὕτω:
Χαῖρε, ὁδοῖς πορευθεὶς εὐθείαις,
χαῖρε, Μοναῖς ἐμβατεύων θείαις.
Χαῖρε, Παναγίας ὁ μύστης ὁ ἔνθεος,
χαῖρε, τοῦ Λειμῶνος δομήτωρ πανάριστος.
Χαῖρε, ὅτι Μυρσινιώτισσαν ἀνεκαίνισας καλῶς,
χαῖρε, ὅτι τὸν Ἀρχάγγελον σὺ ἐφίλεις Μιχαήλ.
Χαῖρε, πᾶσι διδάσκων τοῦ Χριστοῦ τὴν ἀγάπην,
χαῖρε, ὁ φυγαδεύων τοῦ ἐχθροῦ τὴν ἀπάτην.
Χαῖρε, πιστῶν ἁπάντων στερέωμα,
χαῖρε, ἡμῶν ἀκλόνητον ἔρεισμα.
Χαῖρε, θερμὸς τῶν πιστῶν παραστάτης,
χαῖρε, Μονῶν σου ὁ φρουρὸς καὶ προστάτης,

**Χαίροις Λέσβου τὸ καύχημα.**

www.tezaurliturgic.ro



Μνήμην σου οἱ τιμῶντες, Ποιμενάρχα Μηθύμνης,
Ἰγνάτιε, Μοναῖς σου προσῆλθον,
οἱ φιλοῦντες σε μάκαρ ἐν γῇ,
ὡς οὐρανῷ δ' ἑστᾶναι, ᾠδὴν ᾄδουσι καινήν,
οἱ λιτανεύοντες ἐν ὕμνοις, καὶ βοῶντες οὕτως,

Ἀλληλούϊα.

Νέαν ὄντως ἐν Λέσβῳ βιωτὴν ἀνελάβου
ἐν χρόνοις δυσχειμέροις, ὦ Πάτερ·
καὶ τῇ Μυρσινιωτίσσης Μονῇ
καὶ Λειμῶνι εὐθὺς κατελθών, Ἅγιε,
συνέπηξας τὴν ποίμνην σου, διὸ μεγαλοφώνως ᾄδει:
Χαῖρε, δι' οὗ ἱλασμὸν πλουτοῦμεν,
χαῖρε, δι' οὗ φωτισμὸν ἀντλοῦμεν.
Χαῖρε, μυροθήκη τοῦ Πνεύματος πάνσεπτος,
χαῖρε, μυροβλήτης φανεὶς μετὰ θάνατον.
Χαῖρε, ὅτι ἀναδέδειξαι τῶν Μονῶν σου ὁ πατήρ,
χαῖρε, ὅτι ἐχρηματίσας Μηθυμναίων ὁ ποιμήν.
Χαῖρε, ὅτι ἐφάνης ὁδηγὸς ἀληθείας,
χαῖρε, ὅτι ἐχρίσθης τῇ βουλήσει τῇ θείᾳ.
Χαῖρε, δοχεῖον ὢν τὸ τοῦ Πνεύματος,
χαῖρε, μυρίζων πάντας ἐν χάριτι.
Χαῖρε, λιμὴν θλιβομένων ἐν βίῳ,
χαῖρε, ἡμῶν καταφύγιον θεῖον,

Χαίροις Λέσβου τὸ καύχημα.

Ξένον τρόπον δρῶντες οἱ ἐν Φάραγγι ὄντως
ζωῆς καὶ πολιτείας ἐν πᾶσιν,
κατεπλάγησαν τότε ἐν σοὶ
καὶ τιμὴν τῷ Κυρίῳ εὐθὺς ἔδωκαν,
λατρεύοντες ἐν ᾄσμασι καὶ ᾄδοντες αὐτῷ ἐνθέως,

Ἀλληλούϊα.

www.tezaurliturgic.ro



Ὅλος ἔκδημος ὤφθης, ὅλος Πνεύματος πλήρης
Λειμῶνι διαιτώμενος, μάκαρ·
διὸ τὸν παγετὸν τῆς νυκτὸς
τόν τε καύσωνα ἡμέρας ὑπήνεγκας,
ὁσίως Ἱερώτατε· καὶ σήμερον ἀκούεις ταῦτα:
Χαῖρε, πιστῶν ὁδηγὸς ἀληθείας,
χαῖρε, κανὼν ἀκριβοῦς ἐγκρατείας.
Χαῖρε, ἀγρυπνίαν ἀσκῶν καρτερώτατα,
χαῖρε, τῶν Ἀγγέλων ζηλώσας τὰ τάγματα.
Χαῖρε, ὅτι πεπολίτευσαι ἐν τῇ γῇ ὡς Σεραφείμ,
χαῖρε, ὅτι ἀναδέδειξαι ἐν Λειμῶνι Χερουβείμ.
Χαῖρε, λάμπων ἐν πᾶσιν Ἱεράρχα Κυρίου,
χαῖρε, πᾶσι διδάσκων τὴν ὁδὸν τοῦ Κυρίου.
Χαῖρε, λαοῦ προστάτης θερμότατος,
χαῖρε, ἡμῶν πατὴρ καὶ διδάσκαλος.
Χαῖρε, λειμὼν ἐν Λειμῶνι Μηθύμνης,
χαῖρε, Χριστὸν ὁ λατρεύων ἐν ὕμνοις,

Χαίροις Λέσβου τό καύχημα.

Πᾶσα χώρα Μηθύμνης ἑορτῇ σου συνῆλθε
ὑμνῆσαί σου τὴν μνήμην ἀξίως·
τῇ ἐν Μυρσινιωτίσσης Μονῇ
καὶ Λειμῶνος ἰδοὺ πανοικὶ ἅπαντες,
ἀξίως σε γεραίροντες καὶ ᾄδοντες ἐν πόθῳ οὕτως,

Ἀλληλούϊα.

Ρᾶνον πᾶσι τὴν χάριν δαψιλῆ τοῦ Κυρίου
Ἰγνάτιε, τοῖς πόθῳ τελοῦσι,
τὴν ἱεράν σου, σεμνὴν ἑορτὴν
καὶ ὑμνοῦσι ταύτην εὐλαβῶς, Ἅγιε,
διδοὺς ἀεὶ ἐν ᾄσμασι, βοᾶν σοι ἐκ καρδίας ταῦτα.
Χαῖρε, φανεὶς Ὀρθοδόξοις στύλος,
χαῖρε, δειχθεὶς εὐσεβείας πύργος.

www.tezaurliturgic.ro



Χαῖρε, Ἀσωμάτων τὸν βίον τυπούμενος,
χαῖρε, τῶν ὁσίων τὸν τρόπον μιμούμενος.
Χαῖρε, μέγας καὶ ὑπέρλαμπρος Ἐκκλησίας σὺ φωστήρ,
χαῖρε, ὄντως Θεοπρόβλητος Μηθυμναίων ὁ ποιμήν.
Χαῖρε, πάνυ ποθήσας τὸν Χριστόν, τὴν Εἰρήνην,
χαῖρε, πᾶσι βραβεύων τοῖς ποθοῦσιν εἰρήνην.
Χαῖρε, λαοῦ ὁ μύστης ὁ ἔνθεος,
χαῖρε, ἡμῶν διδάσκαλος πάνσοφος.
Χαῖρε, χαρὰν θησαυρίσας ὁσίως,
χαῖρε, αὐτὴν διανέμων πλουσίως,

**Χαίροις Λέσβου τὸ καύχημα.**

Στῶμεν ἐν κατανύξει, ἀδελφοί, καθορῶντες
τὴν Κάραν Ἰγνατίου ἐν μέσῳ,
ἰδοὺ πεποικιλμένην αὐτὴν
τοῦ Θεοῦ τε Πατρὸς καὶ Χριστοῦ χάριτι,
ἐν Πνεύματι δὲ ᾄσωμεν, βοῶντες τῇ Τριάδι πάντες.

**Ἀλληλούϊα.**

Τεῖχος Ὀρθοδοξίας ἀνεφάνης ἐν Λέσβῳ
στηρίζων τοὺς πιστοὺς ἐν τῇ πίστει·
οἱ γὰρ ἐν Μοναῖς ἀδελφοί,
τὸν Σταυρὸν τοῦ Χριστοῦ ἐν αὐταῖς φέροντες,
διδάσκοντες ἐδίδασκον· διὸ καὶ εὐγνωμόνως ᾄδουν.
Χαῖρε, πιστῶν ὁδηγὸς ὁ Θεῖος,
χαῖρε, κανὼν ἀσκητῶν ὁσίων.
Χαῖρε, ἀσθενούντων ταχίστη ἐπίσκεψις,
χαῖρε, θλιβομένων χαρὰ καὶ ἀντίληψις.
Χαῖρε, ὅτι ἐχρημάτισας τοῦ Ὑψίστου ἱερεύς,
χαῖρε, ὄντως Θεοπρόβλητος σὺ σταλεὶς Ἀρχιερεύς.
Χαῖρε, ἄνω σοφίας εἰσελθὼν εἰς τὸν γνόφον,
χαῖρε, ὁ φυγαδεύων ἀγνωσίας τὸν ζόφον.
Χαῖρε, λαοῦ φωστὴρ τηλαυγέστατος,

www.tezaurliturgic.ro



χαῖρε, κρατὴρ ζωῆς ὁ ἀκένωτος.
Χαῖρε, εὑρὼν οὐρανῶν βασιλείαν,
χαῖρε, συνὼν ἐν Ὑψίστοις Ἀγγέλοις.

**Χαίροις Λέσβου τὸ καύχημα.**

Ὕμνησαί σε ὁ πάλαι γεγονὼς ἐν Λειμῶνι
ποιμὴν Ἀλεξανδρέων εὑρών σου
τὰ ἐν Μυρσινιωτίσσης Μονῇ
θαυμαστῶς ἐν τάφῳ σεπτὰ λείψανα
τὰ μύρα ἀναβλύζοντα· κατάπληκτος δ' ἐφώνει ταῦτα,

**Ἀλληλούϊα.**

Φώτισον, Ποιμενάρχα, τοὺς πιστῶς σε ὑμνοῦντας
καὶ μνήμην σου τὴν θείαν τιμῶντας,
τοὺς συναθροισθέντας πανοικί,
ἐν παννύχοις δ' εὐχαῖς, εὐσεβῶς, Ἅγιε,
ἐνθέως μεγαλύνοντας καὶ ψάλλοντας ἐν πόθῳ ἅμα:
Χαῖρε, ἀστήρ, οὐρανοῖς σελαγίζων,
χαῖρε, πιστῶν τὰς ψυχὰς ὁ φωτίζων.
Χαῖρε, παρεστὼς τῇ Τριάδι, μακάριε,
χαῖρε, τὸν Τρισάγιον μέλπων, ἰσάγγελε.
Χαῖρε, τύπον ταπεινώσεως σεαυτὸν προσαγαγών,
χαῖρε, πάντας ἐν πραΰτητι καὶ ἀγάπῃ ὁδηγῶν.
Χαῖρε, θείων Πατέρων βιοτὴν ὁ ζηλώσας,
χαῖρε, ὄντως τὸ κάλλος τὸ ἀρχέτυπον ᾄσας.
Χαῖρε, πατὴρ πατρός σου πανθαύμαστε,
χαῖρε, ποιμὴν ποιμένων, πανάριστε.
Χαῖρε, Μονὰς καθιδρύσας ὁσίας,
χαῖρε, Μοναῖς ἐμβατεύων ταῖς θείαις,

**Χαίροις Λέσβου τὸ καύχημα.**

www.tezaurliturgic.ro



Χάριν παρὰ Κυρίου οὐρανόθεν παράσχου,
Ἰγνάτιε, τοῖς πόθῳ τελοῦσι
οἰκείαις, σεβασμίαις Μοναῖς
ἐν κατανύξει, χαρᾷ, ἑορτήν, Ἅγιε
καὶ μνήμην σου γεραίροντας ἐν πίστει, μελῳδοῦντας οὕτως,

Ἀλληλούϊα.

Ψάλλοντας καθ' ἑκάστην ἐκ βαθέων τῷ Κτίστῃ,
ἐνίσχυσον ἡμᾶς, Θεοφόρε,
ὡς σὺ ἐπολιτεύσω ἐν γῇ
καὶ Μονὰς ἐν Χριστῷ ἀσινεῖς ἤγειρας
διὸ καὶ οἱ φιλοῦντές σε, ἐν ταύταις μελῳδοῦμεν ταῦτα:
Χαῖρε, Θεοῦ τὴν ἀγάπην ᾄσας,
χαῖρε, Χριστὸν ἐν τῇ γῇ δοξάσας.
Χαῖρε, προσευχὴν ἐν καρδίᾳ σου θέμενος,
χαῖρε, ἐν νυκτὶ καὶ ἡμέρᾳ δεόμενος.
Χαῖρε, ὅτι καθυπέμεινας προσβολὰς τοῦ πονηροῦ,
χαῖρε, ὅτι ἀπενέκρωσας τὰς φαρέτρας τὰς αὐτοῦ.
Χαῖρε, πᾶσι παρέχων εὐλογίαν καὶ χάριν,
χαῖρε, πάντας λαμβάνων ὡς υἱοὺς κατὰ χάριν.
Χαῖρε, ψυχῶν σωτήριος ἔλλαμψις,
χαῖρε, ἡμῖν παρέχων συγχώρησιν.
Χαῖρε, βουλὰς κακοτρόπων νικήσας,
χαῖρε, ἡμᾶς πατρικῶς εὐλογήσας,

Χαίροις Λέσβου τὸ καύχημα.

Ὢ πανθαύμαστε Πάτερ, ὁ Λειμῶνι ἀσκήσας
τὸν ὕμνον προσδεξάμενος τόνδε(γ!)
τὸν συγγράψαντα, τούς τε πιστῶς
μελῳδοῦντας ἅπαντας συγχώρησον,
πλουσίως δ' ἐπευλόγησον, βοῶντας κατανύξει οὕτως,

Ἀλληλούϊα.

www.tezaurliturgic.ro



# ΤΑ ΕΓΚΩΜΙΑ

ὧν ἡ ἀκροστιχὶς
πλὴν τοῦ πρώτου τροπαρίου
ἑκάστης στάσεως

Τὸν Ἰγνάτιον ποιμενάρχην Μηθύμνης
ἐπιταφίοις ὕμνοις σεμνῶς μέλπει τῷ τάφῳ
παρεστὼς σὺν Μηθυμναίοις ὁ ταπεινὸς Μηθ. Ἰ.

## ΣΤΑΣΙΣ ΠΡΩΤΗ

**Ἦχος πλ. α'. Ἡ Ζωὴ ἐν τάφῳ.**

Η ζωὴ ἐν τάφῳ καταβὰς ὁ Χριστὸς
τὴν ἀνάστασιν ἡμῖν ἐδωρήσατο
τοῖς πιστεύουσιν αὐτῷ πανευσεβῶς.

**Τὰ τροπάρια.**

Τῶν Λεσβίων δῆμοι, Μηθυμναίων πληθὺς
Ἰγνατίου νῦν τῷ τάφῳ προσέλθετε
ἀπαντλοῦντες εὐλογίαν δαψιλῶς.

Οὐρανόθεν πρόσχες, Ἱεράρχα Χριστοῦ
καὶ παράσχου φωτισμόν τε καὶ δύναμιν
ἀνυμνῆσαι ἑορτήν σου εὐσεβῶς.

Νοεραί σε τάξεις καθορῶσαι σεμνῶς
ἐν Λειμῶνι λιτανεύοντα Κύριον
ἐξεπλήττοντο δοξάζουσαι Χριστόν.

Ιατρὸς ἐφάνης ἐν ὑστέροις καιροῖς
τῶν ψυχῶν τε καὶ σωμάτων πανθαύμαστε,
τοῖς προστρέχουσιν ἐν πίστει σῷ ναῷ.

www.tezaurliturgic.ro



Γενεαί σε εὗρον Μηθυμναίων, σοφέ,
αἱ τὸν Κύριον θερμῶς ἀγαπήσασαι
καταφύγιον ἐν θλίψεσι στερρόν.

Νεανίας ἔτι τῷ πατρί σου συνὼν
Μανουήλ, ἐφημερίῳ τοῦ Φάραγγος
διηκόνεις μετὰ πόθου ἱεροῦ.

Ἀρεταί σε πᾶσαι κατεκόσμουν σοφέ,
ἡ ἀγάπη καὶ ἐλπὶς μετὰ πίστεως
ἃς κατάπεμψον ἡμῖν τοῖς ταπεινοῖς.

Τὸν Χριστὸν ποθήσας ἐκ παιδός, ἀγαθέ,
καὶ Μητέρα τὴν αὐτοῦ ἀφιέρωσας
τὴν ζωήν σου διὰ δόξαν Ἰησοῦ.

Ιωάννης πρῶτον ἀπεκλήθης καλῶς
ἐνσαρκῶν τοῦ Βαπτιστοῦ τὸ ἐνάρετον
ὡς τὴν ἔρημον ποθήσας ζωηρῶς.

Ο λαὸς Μηθύμνης κατιδών σου καλῶς
βιοτὴν σὺν τῇ ἀσκήσει, πανάριστε,
τὸν Χριστὸν δοξολογεῖ μετὰ ψαλμῶν.

Ναυτιῶντας πάντας προσεδέξω θερμῶς
ἐν λιμένι τοῦ Λειμῶνος, πανάγιε,
κατευθύνας πατρικῶς πρὸς οὐρανούς.

Πανοικὶ ἀνῆλθες ἐν Λειμῶνι, σοφέ,
σὺν πατρί τε καὶ υἱῷ σου γενόμενος
καθηγούμενος αὐτῶν καὶ ὁδηγός.

www.tezaurliturgic.ro



Ὁρατῶς ἑστῶτες πρὸ τοῦ τάφου σου νῦν
ἀοράτως παρεστᾶναι νομίζομεν
κατενώπιόν σου, πάτερ ἀγαθέ.

Ἱλασμὸν παράσχου πεπτωκόσιν ἡμῖν
ὦ Ἰγνάτιε, Μηθύμνης ὁ Πρόεδρος
παρρησίας ὡς τυχὼν παρὰ Θεοῦ.

Μηθυμναίοις ὤφθης σὺ φωστὴρ φαεινὸς
ὡς ποιήσας καὶ διδάξας, πανάριστε,
τοῦ Κυρίου τὰ ἐντάλματα καλῶς.

Ἐπὶ γῆς ὡράθης εὐσεβείας πυρσὸς
πρὸς Λειμῶνα συγκαλῶν μετὰ πίστεως
τοὺς προστρέχοντας ἐν πόθῳ ἱερῷ.

Νομοθέτης θείων ἐνταλμάτων φανεὶς
Μυρσινιώτισσαν, Λειμῶνα ὠχύρωσας
παραγγέλματι Κυρίου πατρικῶς.

Ἀληθῶς ἐφάνης τῆς εἰρήνης κανὼν
τὴν πρᾳότητα διδάξας ἐν ἔργοις σου
εἰρηνεύων μετὰ πάντων ἐν Χριστῷ.

Ῥερυπότα μέλη ἐκκαθαίρων ἐν γῇ
τῶν πταιόντων ἀνεδείχθης διδάσκαλος
ἐν ἀγάπῃ καὶ σοφίᾳ ὁδηγῶν.

Χαρισμάτων θείων πλουτοφόρος πηγὴ
ἀγρυπνίαις καὶ νηστείαις γενόμενος
μεταδέδωκας αὐτὰ παναληθῶς.

www.tezaurliturgic.ro



Ἡ χαρὰ Μηθύμνης, ἡ ἐλπὶς τῶν πιστῶν
ἀνεδείχθης, ὦ Ἰγνάτιε, ὅσιε,
ἐν ὑστέροις τοῖς καιροῖς ὡς θαυμαστός.

Νέαν, πάτερ, κλῆσιν ἐκδιδάσκων πιστοῖς
ἐν Μοναῖς σου προσεδέξω, θαυμάσιε,
κατηχῶν αὐτοὺς ὁδὸν τὴν τοῦ Χριστοῦ.

Μακαρίζομέν σε, Ἱεράρχα Χριστοῦ
ὡς ἐργάτην ἀνεπαίσχυντον, Ἅγιε,
Ὀρθοδόξου Ἐκκλησίας ἀληθῶς.

Ἡ Μονὴ Λειμῶνος ἑορτάζει φαιδρῶς
καὶ γεραίρει τὴν σὴν μνήμην ἐν ᾄσμασι
Μυρσινιώτισσα συγχαίρουσα θερμῶς.

Θαυμαστὰ εἰργάσω ἐπὶ γῆς, ἀσκητά,
ἐν ἑσπέρᾳ καὶ πρωΐᾳ δεόμενος
τοῦ Κυρίου καὶ νυκτὶ πανευσεβῶς.

Ὑπὲρ τῶν ὑμνούντων τὴν πανίερον νῦν
ἑορτήν σου, ποιμενάρχα, δεήθητι
τοῦ τυχεῖν παρὰ Κυρίου ἱλασμοῦ.

Μεγαλύνομέν σε, Ὀρθοδόξων φρουρὸν
καὶ διδάσκαλον, Ἰγνάτιε ἔνδοξε
ἐν καιροῖς τοῖς χαλεποῖς ὡς ἀληθῶς.

www.tezaurliturgic.ro



Νεκρωθεὶς τῷ κόσμῳ συνανέστης Χριστῷ
ὅν ἐδόξασας ἐν βίῳ σου, Ἅγιε,
βασιλεύων σὺν αὐτῷ ἐν οὐρανοῖς.

Η ἐλπὶς Λεσβίων καὶ χαρὰ ἀληθῶς,
ὦ Ἰγνάτιε, ἐγένου τῇ ποίμνῃ σου
δαδουχῶν καὶ νουθετῶν καρτερικῶς.

Σὺ ἐφάνης, πάτερ, ἐν τῇ νήσῳ σαφῶς
ὡς πολύφωτος ἀστήρ, Ἱερώτατε,
καταυγάζων τὰς ψυχὰς τῶν ἐκλεκτῶν.

Επὶ σὲ θαρροῦντες, Θεοφόρε Πατὴρ
τὴν ὑγείαν καὶ εἰρήνην αἰτούμεθα,
ὦ Ἰγνάτιε, διδάσκαλε ἡμῶν.

**Δόξα Πατρί.**

Πάτερ, Λόγε, Πνεῦμα, Παναγία Τριάς,
νῦν ἐπίσκεψαι τοὺς δούλους σου τάχιστα
Ἰγνατίου σοῦ θεράποντος λιταῖς.

**Καὶ νῦν.**

Ιλασμὸν πταισμάτων, Θεοτόκε ἁγνὴ
Μυρσινιώτισσα, παράσχου δεόμεθα
σωτηρίαν τε ἡμῖν τοῖς ταπεινοῖς.

www.tezaurliturgic.ro



## ΣΤΑΣΙΣ ΔΕΥΤΕΡΑ

**Ἦχος πλ. α'. Ἄξιόν ἐστιν.**

Ἀξιόν ἐστι τοῦ δοξάζειν σε τὸν Ποιμενάρχην
τὸν ἐν Καλλονῇ διαλάμψαντα
ἐν τοῖς λόγοις τε καὶ ἔργοις θαυμαστῶς.

**Τὰ τροπάρια.**

Τάφῳ ἱερῷ, νῦν προσέλθωμεν τοῦ Ἰγνατίου
καὶ μελῳδικῶς ἀναμέλψωμεν
ἐπὶ μνήμῃ τοῦ ὁσίου εὐσεβῶς.

Ἆρον σου φωνήν, ἡ Μηθύμνης ἐπαρχία πᾶσα
καὶ ἐν τῷ Λειμῶνι ἀθροίσθητι
κατὰ μνήμην τοῦ Ἁγίου εὐσεβῶς.

Φῶς τὸ ἐκ φωτὸς ἐπιλάμψαν σῇ καρδίᾳ, πάτερ,
λογισμοὺς ἐνθέως ἐθέωσεν,
προσευχὴν τὴν ἀδιάλειπτον ἀσκῶν.

Ἴδετε λαοὶ καὶ θαυμάσατε πῶς ἐν ἐσχάτοις
τοῖς καιροῖς ἐφάνη πανάγιος
ὁ Ἰγνάτιος τοῦ Φάραγγος βλαστός.

Ὄρη καὶ βουνοί, Καλλονῆς τε καὶ Μυρσινιωτίσσης
ὥσπερ τὰ ἀρνία σκιρτήσατε
ἐπὶ μνήμῃ τοῦ ὁσίου εὐσεβῶς.

www.tezaurliturgic.ro



Ιδιον οὐδὲν ἐλογίσω ἐν τῷ βίῳ, Πάτερ
κοινοβιακῶς γὰρ θεόληπτε
ἐν Μοναῖς σου διεβίου θαυμαστῶς.

Σῶμά σου σεπτόν, κατετέθη ἐν τῷ τάφῳ ὧδε
καὶ μυροβλητοῦν πεφανέρωται
παραδόξως, ἐπινεύσει θεϊκῇ.

Υ μνον ἱερόν, προσενέγκωμεν τῷ Ἰγνατίῳ
οἱ ἐν ταῖς Μοναῖς νῦν ἱστάμενοι
ἐπὶ μνήμῃ τοῦ ἁγίου εὐσεβῶς.

Μνήσθητι ἡμῶν τῶν τιμώντων σου τὴν μνήμην, πάτερ,
καὶ ἀκατακρίτως ἀξίωσον
ὀφλημάτων τὴν συγχώρησιν εὑρεῖν.

Νέαν σοι ᾠδήν, ἐπιτάφιον νῦν μελῳδοῦμεν
οἱ πεφιληκότες σε, Ἅγιε,
καὶ προσπίπτοντες τῷ θείῳ σου ναῷ.

Ομβρισον ἡμῖν κατανύξεως κρουνοὺς ἁγίας
καὶ τὸν νοῦν ἡμῶν κατακόσμησον
ἐναρέτοις θεωρίαις ἀψευδῶς.

www.tezaurliturgic.ro



Ιδωμεν πιστοί, μεγαλεῖα Ἰγνατίου θεῖα
πῶς ἀντιδοξάζει ὁ Κύριος
τοὺς δοξάζοντας αὐτὸν ἐπὶ τῆς γῆς.

Στῶμεν εὐλαβῶς, προσευχόμενοι ἐν κατανύξει
ἁγιοπρεπῶς μακαρίζοντες
Ἰγνατίου τὴν πανήγυριν σεπτῶς.

Σήμερον πιστοί, εὐφρανθῶμεν τῷ νοῒ ἐνθέως
ἐν τῇ πανηγύρει τοῦ κτίτορος
ἀνυμνοῦντες ἑορτὴν αὐτοῦ φαιδρῶς.

Εχοντες ἀεὶ ἐν τῷ βίῳ σε προστάτην μάκαρ
ὑπὲρ τῶν νοσούντων δεόμεθα
τὴν ὑγείαν χορηγῆσαι δαψιλῶς.

Μέγας ἀληθῶς, ἀνεδείχθης κηδεμὼν ἁπάντων
τῶν ἐν ἐξορίαις καὶ θλίψεσι
καταπέμπων τὴν ἐνίσχυσιν αὐτοῖς.

Νεῦσον ὡς πατήρ, καὶ ἐπίσκεψαι τοὺς ἐν τῇ ξένῃ
ἀδελφοὺς ἡμῶν καὶ γεννήτορας
καὶ ἀξίωσον ἐλθεῖν μετὰ χαρᾶς.

Ωσπερ νοσσιά, τὰ τεκνία σου πρόσδεξαι πάτερ
νῦν ἐν κατανύξει προσπίπτοντα
καὶ αἰτοῦντα σὴν βοήθειαν θερμῶς.

www.tezaurliturgic.ro



Σῶμα καὶ ψυχήν, παρατίθημι χειρί σου μάκαρ
ὡς πανσθενουργῷ, ἱερώτατε,
καταπέμψαι τὴν βοήθειαν αἰτῶν.

Μέγας ὁδηγός, Μηθυμναίων ἀνεδείχθης ὄντως
ἐν καιρῷ σκοτίας, πανάγιε,
ὀρθοδόξως γαλουχῶν καὶ νουθετῶν.

Ἔρραναν Χριστοῦ, Μυροφόροι σὺν δακρύοις μῦρα
τάφον· διὸ πάντες συνήλθομεν
τοῦ μυρίσαι σου τὸν τάφον εὐλαβῶς.

Λῦσον τὰ δεσμά, τὰ κυκλοῦντά με ἐν βίῳ, πάτερ,
κόπασον τὸν κλύδωνα, ἅγιε,
καὶ εἰρήνευσον τὸν κόσμον ἀγαθέ.

Πάντων ἡ ἐλπίς, Μηθυμναίων σὺ ἐγένου, πάτερ
ἡ μετὰ Θεὸν ἀκαταίσχυντος
ὡς νῦν ἔχων παρρησίαν πρὸς αὐτόν.

Ἔδραμες πιεῖν, τὸ ἁλλόμενον Κυρίου ὕδωρ
καὶ ποιμαντικῶς τοῦτο δέδωκας
τοῖς διψῶσιν, ὦ Ἰγνάτιε σοφέ.

Ἵδρυσας Μονάς, τοῦ Λειμῶνος καὶ Μυρσινιωτίσσης
ἐπὶ τὴν ἀσάλευτον, ὅσιε,
τοῦ Κυρίου τὴν ἁγίαν ἐντολήν.

www.tezaurliturgic.ro



Ταύτας ὡς πατήρ, μὴ ἐλλίπης τοῦ φρουρεῖν καὶ σκέπειν
ἀπὸ πειρασμῶν τε καὶ θλίψεων
διαμένειν εἰς αἰῶνας ἀσινεῖς.

Ὢ τῶν ὑπὲρ νοῦν, παμμακάριστε θείων ἀγώνων
οὓς ἐν ταῖς Μοναῖς σου ἀνέλαβες
ἐν ἡμέρᾳ καὶ νυκτὶ ἐπαγρυπνῶν.

Τέκνα σου ἡμεῖς, ὦ Ἰγνάτιε, διὸ αἰτοῦμεν
τῶν παραπτωμάτων συγχώρησιν
εὐλογίαν τε εἰρήνην παρὰ σοῦ.

Ἄνω ὡς συνών, Παραδείσῳ καὶ ἁγίοις πᾶσι
τῶν νῦν δεομένων ἐπάκουσον
καταπέμπων τὰ αἰτήματα καλῶς.

Φώτισον ἡμῶν, διανοίας καὶ τὸν νοῦν ἁπάντων
ὡς τοῦ φωτισμοῦ θείου ἔμπλεως
καταλάμπων ἐν τοῖς πέρασι λαμπρῶς.

Ὥσπερ ἐν τῇ γῇ, ἱερούργεις τῷ Κυρίῳ, πάτερ,
καὶ ἐν οὐρανῷ νῦν μνημόνευε
τῶν τεκνίων σου, Ἰγνάτιε σοφέ.

**Δόξα Πατρί.**

Πάτερ σὺν Υἱῷ, ἅμα Πνεύματι τῷ Παναγίῳ
ὦ Τριὰς ἁγία, ἐπάκουσον
Ἰγνατίου σοῦ θεράποντος εὐχῶν.

www.tezaurliturgic.ro



**Καὶ νῦν.**

Ἄσπιλε Ἀμνάς, Μυρσινιώτισσά μου Παναγία
σὺν τῷ Ἰγνατίῳ δεήθητι
τοῦ εὑρεῖν ἡμᾶς πταισμάτων ἱλασμόν.

www.tezaurliturgic.ro



## ΣΤΑΣΙΣ ΤΡΙΤΗ

**Ἦχος γ'. Αἱ γενεαὶ πᾶσαι.**

Αἱ γεναιαὶ πᾶσαι Λεσβίων ἐγκωμίοις Ἰγνάτιον τιμᾶτε.

**Τὰ τροπάρια.**

Ρανάτω πᾶσαν κτίσιν ἡ μνήμη Ἰγνατίου
τὴν θείαν εὐφροσύνην.

Εἰρήνην ταῖς Μοναῖς σου ψυχαῖς ἡμῶν καὶ κόσμω,
κατάπεμψον ἐξ ὕψους.

Συνὼν σὺν τοῖς ἀγγέλοις, μνημόνευε παμμάκαρ,
τῶν σὲ παρακαλούντων.

Τυχεῖν κατηξιώθης, Ἰγνάτιε θεόφρον,
τῆς ἄνω βασιλείας.

Ὦ πάτερ θεοφόρε, Λειμῶνος ὁ προστάτης,
ἁγίασον σὴν ποίμνην.

Σοφίαν τοῦ Κυρίου, προκρίνας τῆς τοῦ κόσμου,
αὐτῇ προσεκολλήθης.

Σοφίαν τὴν ἐξ ὕψους, λαβὼν ἐν τοῖς ἀδύτοις,
πανσόφως ἐπορεύθης.

Υμνοῦμεν σου θεόφρον, ἀγάπην τὴν τελείαν,
εὐχὴν καὶ ἀγρυπνίαν.

www.tezaurliturgic.ro



Ναοὺς Θεοῦ ἐγείρας, Παρθένου καὶ Ἀγγέλων,
ἐδόξασας τὸν Κτίστην.

Μαρίαν τὴν Παρθένον, θερμῶς σὺ ἀγαπήσας,
χερουβικῶς ἀνύμνεις.

Ἡμᾶς τοὺς σὲ ὑμνοῦντας, Ἰγνάτιε προσδέχου
διδοὺς τὴν εὐλογίαν.

Θεὸν ἐν γῇ δοξάσας, Ἰγνάτιε ἀξίως,
δοξάζομέν σε μάκαρ.

Ὑμνῶν ἀκαταπαύστως, Τριάδα τὴν ἁγίαν,
ἡμῶν μὴ ἐπιλάθου.

Μονάς σου τὰς ἁγίας, συντήρει εἰς αἰῶνας,
ἀπήμονας ἐκ ζάλης.

Νενίκηκας γενναίως, τὰ ἔνεδρα τοῦ πλάνου,
Σταυροῦ τῇ πανοπλίᾳ.

Ἀγάπην ἐξασκήσας, ὑπόδειγμα ἐγένου,
τῆς Νέας Διαθήκης.

Ἰδεῖν δὲ εἰς αἰῶνα, τὸ πρόσωπον Κυρίου,
ἀξίωσον σὰ τέκνα.

www.tezaurliturgic.ro



Οδὸν τὴν τοῦ Κυρίου, ὁδήγησον βαδίζειν,
ὡς σὺ ἐν γῇ θεόφρον.

Ιδοὺ τὰ σὰ τεκνία, προσπίπτομέν σοι πόθῳ,
Ἰγνάτιε ἐν ὕμνοις.

Σωθῆναι νῦν δυσώπει, τοὺς σὲ παρακαλοῦντας,
θερμῶς ἐν κατανύξει.

Ο κόσμος εὐωδίας, πεπλήρωται τοῖς μύροις,
ἐκ Κάρας σου ἁγίας.

Τὰ πλήθη τῶν Λεσβίων, συνῆλθον ἐκ περάτων,
τὴν μνήμην σου τιμῶντα.

Αγίων ταῖς χορείαις, ἰδοὺ συνεδοξάσθης,
Ἰγνάτιε ἐν πόλῳ.

Παράσχου σοῖς ἱκέταις, καλὴν ἀπολογίαν,
ἐν βήματι Κυρίου.

Επίβλεψον καὶ ἴδε, τὰ σὰ τεκνία πάτερ,
ὑμνοῦντά σε ἐν πόθῳ.

Ιγνάτιε μετάδος, τῆς χάριτος ἐξ ὕψους,
ἡμῖν τοῖς δεομένοις.

Νοσοῦσι τὴν ὑγείαν, πτωχοῖς παραμυθίαν,
κατάπεμψον πλουσίως.

www.tezaurliturgic.ro



Ὁμοῦ μετὰ μαρτύρων, Λεσβίων καὶ ὁσίων,
δυσώπησον τὸν Κτίστην.

Συνὼν σὺν Ἀσωμάτοις, τὴν ἄϋλον Κυρίῳ,
προσφέρεις λειτουργίαν.

Μεσίτην σε καὶ ῥύστην, προσάγομέν σε πάτερ,
ἐν ὥρᾳ τῇ τῆς δίκης.

Ἡμᾶς τοὺς δεομένους, εὐλόγησον ὡς ἔχων,
Θεῷ τὴν παρρησίαν.

**Δόξα Πατρί.**

Θεὸν τὸν ἐν Τριάδι, ὑμνοῦμεν σὺν Υἱῷ τε,
Πατέρα καὶ τὸ Πνεῦμα.

**Καὶ νῦν.**

Ἰδοὺ Παρθενομήτορ, τὴν χάριν ἐξαιτοῦμεν,
εὑρεῖν παρὰ Υἱοῦ σου.

**Εἶτα ψάλλομεν τὰ εὐλογητάρια.**
**Ἦχος πλ. α'.**

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με ὑμνεῖν τὸν Ποιμενάρχην.

Τῶν Λεσβίων οἱ δῆμοι Ἰγνατίου τῷ τάφῳ
παρεστῶτες βοῶμεν. Τοῦ Ἁγίου λιταῖς, ὦ Θεὲ πανοικτίρμον
τοὺς προσκυνητὰς τῶν Μονῶν εὐλόγησον
καταπέμπων πᾶσι τὸ μέγα ἔλεος.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με ὑμνεῖν τὸν Ποιμενάρχην.

www.tezaurliturgic.ro



Τί τῷ Τάφῳ Ἰγνατίου ἔστητε, τήν τε ἄφεσιν αἰτεῖσθε.
οἱ ἀφρόνως ἐν τῷ βίῳ πταίσαντες
καὶ Κυρίῳ μὴ ὑποταγέντες,
παύσασθε ποιεῖν τὰ ἔργα τοῦ ὄφεως
ὁ Κριτὴς γὰρ ἐπὶ θύραις πάρεστι.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με ὑμνεῖν τὸν Ποιμενάρχην.

Λίαν πρωΐ Μηθυμναῖοι ἔδραμον
πρὸς τὸν τάφον σου ἐν κατανύξει,
καὶ Κάραν τὴν σὴν ἐπ' αὐτοῦ καθορῶντες
Ἅγιε Θεοῦ, κράζουσι δακρύοντες
ἐξελοῦ ἡμᾶς τῶν παγίδων τοῦ ἀλάστορος.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με ὑμνεῖν τὸν Ποιμενάρχην.

Ἰγνατίου τῷ τάφῳ κατανύξει ἐλθόντες
πρὸς αὐτὸν ἐκβοῶμεν.
Τῶν πταισμάτων ἡμῶν τὴν συγγνώμην παράσχου
ὡς παρὰ Χριστοῦ ἐξουσίαν εἴληφας.
Ἱεράρχης γὰρ πέλεις συμπαθέστατος.

**Δόξα Πατρί.**

Προσκυνοῦμεν ἐν φόβῳ τὴν Ἁγίαν Τριάδα,
ὦ Ἰγνάτιε πάτερ,
Ἣν ἐν βίῳ ἀνύμνεις καὶ ἐδόξασας ἔργοις
καὶ ὡς ἱερεύς, ἅμα τε Ἐπίσκοπος,
ἵνα πᾶσι δωρήσηται τὸ ἔλεος.

**Καὶ νῦν.**

www.tezaurliturgic.ro



Μυρσινιώτισσαν ὄντως ἀγαπήσας ἐν βίῳ
καὶ Ἀρχάγγελον αὖθις,
οἷς Μονὰς ἀνεγείρας, μοναχοῖς τε πλουτίσας
μεθ' ὧν εὐσεβῶς ἔψαλλες γηθόμενος,
Παναγία, εἰρήνην δὸς καὶ ἄφεσιν.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα, δόξα σοι ὁ Θεός (ἐκ. γ').

**ΑΜΗΝ**